eul_wid: vta-ag

Ὁμηρικὴ ὑπόμνησις · Homer Commentary

# Later Scholia on Iliad

## Σχόλια εἰς Ἰλιάδα

**Period:** Ὀψιμαρχαία Late Antique
**Dialect:** Ἀττικίζουσα Atticizing
**Domain:** Γραμματική Grammar
**Format:** Πεζός Prose

1 ante 1-2 ἄειδε] κατὰ ποιητικὴν ἄδειαν ἢ συνήθειαν—Κρονίωνος Διός. ἄειδε] κανόνισον· ἔστι ῥῆμα εἴδω τὸ γινώσκω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀείδω, τὸ πάνυ γινώσκω. γράφεται δὲ διὰ διφθόγγου, ὅτι ἀντιπαράκειται αὐτῷ τὸ ἀοιδή· ὁ παρατατικὸς ἄειδον ἄειδες ἄειδε. ἐξ αὐτοῦ δὲ γέγονε καὶ τὸ ᾄδω, κατὰ κρᾶσιν τοῦ α καὶ ε εἰς α μακρὸν, καὶ μένει τὸ ι προσγεγραμμένον. Jusqu' à πάνυ γινώσκω [θεὰ] ὁ ποιητὴς προσωποποιεῖται τὴν Μοῦσαν. [θεὰ] λέγει τὴν Καλλιόπην. [Πηληιάδεω] 〈παρὰ τὸ Πηλεύς, τοῦτο δὲ〉 παρὰ τὸ πηλός· 〈θνητὸς γὰρ ὢν〉 ἀθανάτῳ Θέτιδι συνεμίγη. Ἀχιλῆος] οὕτως ἀναγνωστέον διὰ τοῦ ἑνὸς λ —μετέσχε γάλακτος. οὕτω· θεὰ οὐλομένην 〈μῆνιν Πηληια〉 δέω Ἀχιλῆος ἄ 〈ειδε· τῶν γὰρ〉 κλήσεων ἄρχεσθ 〈αι εἴωθε τὸ〉 ῥῆμα.

1 2 [οὐλομένην, ἣ] 〈πρὸ τοῦ «ἥ» διαστολή· πρὸ γὰρ τῶν〉 ἀναφορικῶν μορίων τίθεμεν διαστολάς, ἀναφορικὸν 〈δὲ〉 τὸ ἥ. μυρία] τινὲς θρηνητικὰ, παρὰ τὸ μυρι 〈ᾶσθαι, καὶ ἐπίθετον αὐτὸ〉 τῶν ἀλγέων ἤκουσαν, 〈ἐφ' οἷς μυρι〉 ᾶσθαι καὶ τὸ κλαῦ 〈σαι. οὐδὲν δὲ ἄτοπον〉 εἰ παρὰ Μουσῶν ταῦ 〈τα ἐρωτᾷ· φρόνη〉 σις μὲν γάρ ἐστιν 〈ἡ πάντων εἴδησις,〉 προαίρεσις δὲ ἀκ 〈ριβὴς ἡ τῶν ἀμεινόνων〉 πράξεων αἵρε 〈σις〉 . ** [ἄλγε' ἔθηκε] τοῦτο μὲν φαίνεται ῥηθῆναι διὰ τοὺς τραυματισθέντας μὲν, μὴ θανόντας δέ, τὸ δὲ «προΐαψεν», διὰ τοὺς τεθνεῶτας.

1 2ter ποσόν, πολλάς· ποιόν, ἰφθίμους, οὐσίαν, ψυχάς· τόπον, Ἄϊδι· χρόνον, προΐαψεν. πολλὰς δ' ἰφθίμους] 〈τῶν Τρώων〉 καὶ τῶν Ἑλλήνων.

1 4 [κύνεσσιν] Αἰολὶς ἡ διάλεκτος. [οἰωνοῖσι] λέγει γυψὶ καὶ κόραξι.

1 5 οἰωνοῖσί τε] Ἰωνικῶς· 〈οἱ γάρ〉 Ἴωνες προστιθέασι 〈τὸ ι ταῖς πληθυντικαῖς δοτικαῖς〉 τῶν ἰσοσυλλάβων· 〈οἰωνοῖσι, ἀδε〉 λφοῖσι. οἰωνοῖσί τε πᾶσι] 〈οἱ γὰρ γῦπες ἀν〉 τερείδοντες τοῖς π 〈οσὶ βίᾳ τὸ πᾶν ἕλ〉 κουσι σῶμα· εἰ δὲ καὶ μὴ πάντες ἤσθιον, ἀλλ' οὖν π 〈ᾶσι προὔκειντο ἀνέδ〉 ην καὶ τὰ μὴ ἐσθιόμενα. βουλή] ἤγουν 〈ἡ εἱμαρμένη〉 ἐτελειοῦτο. [βουλή] ἡ Θέτις ἐπικρατεστάτη τῶν Ἑλλήνων. .

1 6 ..... διέστησαν ...... ὁ Ἀχιλλεὺς καὶ ...... διαστίζουσιν ἢ (?) καὶ (?) ἄν ...... οἱ δύο στίχοι ἀναφ...... καὶ ἐκ τούτου ἀντιλέγουσιν ...... μετ' Ἀχιλλέως γενέσθαι ... ... Ἀγαμέμνονος ...... τὸν στίχον καὶ τὸν ἑξῆς οἱ μὲν ...... τῷ προκειμένῳ ......νόμενον ᾖ ...... [διαστήτην] διὰ τὴν στήτην, διὰ τὴν γυναῖκα. [Ἀτρείδης] πατρωνυμικόν· ἀντονομασία 〈ὁ τρόπος ἀντὶ τοῦ〉 Ἀγαμέμνων.

1 7 δῖος] ἔξοχος· ⟨δῖος δέ ἐστι⟩ καὶ Ἀχιλλεὺς ⟨πάντων χάριν, καὶ Ὀδυσσεὺσ⟩ φρονήσεως, Ἀλέ ⟨ξανδρος δὲ καὶ Κλυται⟩ μνήστρα κάλ ⟨λους, Εὔμαιος εὐνοίας, θάλασσα δὲ καὶ⟩ Χάρυβδις μεγέθους. τὸν δὲ Ἀχιλλέα καὶ διογενῆ δίχα τοῦ κυρίου· «αὐτὰρ ὁ διογενής». (Il. XXI. 17). [δῖος] ⟨δῖοι⟩ οἱ ἔχοντες τὸ γένος ἀπὸ τοῦ Διός. τρεῖς ἀρεταὶ διηγήσεως· σαφήνεια συντομία πιθανότης.

1 8 τίς τ’ ἄρ σφωε] ⟨οἱ περὶ τὸν Σιδώνιον τῇ «σφῶϊ» ἀρέσκονται, οὐ καλῶς· ἡ γὰρ «σφῶϊ»⟩ δηλοῖ δύο πτώσεις, τὸ ὑμεῖς καὶ τὸ ὑμᾶς. ἄλλως· τίς τ’ ἄρ σφωε] ἐν δὲ τῇ εἰσβολῇ τὸν λόγον ἀναρ ⟨τήσας φιλοτέχνως διηγ⟩ εῖται τὴν μῆνιν· τοιοῦτος δέ ἐστι, κεφαλαιωδέστερον ἐκδιδοὺς τὰς περιοχὰς, καὶ ἐξ ἀναστρ ⟨οφῆς κατὰ μέρος διηγού⟩ μενος. [Λητοῦς καὶ Διὸς υἱὸς] εἴδη προσωποποιΐας εἰσὶ γ′· προσωποποιΐα ἠθοποιΐα καὶ εἰδωλοποιΐα.

1 9 καὶ προσωποποιΐα μέν ἐστιν ὅταν παριστᾷς πρόσωπόν τινος μὴ λαλοῦν, καὶ ποιῇς αὐτὸ ὅτι λαλεῖ, ὡς τὸ «Λητοῦς καὶ Διὸς υἱός»· ἠθοποιΐα δὲ ὅταν παρεισάγῃς ἦθός τινος γεωργοῦ ..... εἰδωλοποιΐα δὲ ὅταν παριστᾷς πρόσωπον τινὸς νεκροῦ, καὶ ποιῇς αὐτὸ ὅτι λαλεῖ, ὡς τὸ «Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας λιπών.» (Eur. Hec. 1. 2.) [ὁ γὰρ βασιλῆϊ χολωθεὶς] διαπορεῖται ποίῳ βασιλεῖ, τῷ Ἀχιλλεῖ ἢ τῷ Ἀγαμέμνονι, ὃ κρεῖττον.

1 10 [νοῦσον] Ἰωνικῶς. [ὀλέκοντο] Ἰωνικῶς. [τὸν Χρύσην ἠτίμησεν ἀρητῆρα] ὑπερβατὸν, ἵν’ ᾖ· τὸν ἀρητῆρα Χρύσην· τὰ γὰρ ἐπιθετικώτερον συντασσόμενα κυρίοις ἢ προσηγορικοῖς τὰ ἄρθρα δέχονται, εἰ μὴ ⟨τὰ ῥήματα διαφόρων γν⟩ ώσεων κατηγοροίη· τότε γὰρ ἀδιάφορον τὸ ἄρθρον.

1 11 —κατὰ συλλογισμὸν ⟨δὲ ἡ διήγησις· εἰ γὰρ θεοφι⟩ λεῖ τις ἀνδρὶ προσκρούων— οὕτω κολάζεται, τί οὖν πείσεται ⟨ἰδιώτης;⟩ . [ἀρητῆρα] ἀρητὴρ δὲ παρὰ τὸ αἴρειν τὰς χεῖρας εἰς εὐχήν, ἢ παρὰ τὸ ἀρέσκειν. θοὰς] ταχείας, σημαίνει δὲ ⟨καὶ⟩ ὀξείας, ὡς ἐν ἐκείνοις· «ἔνθεν δ’ αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν».

1 12 (Od. XV. 299.) [λυσόμενος—ἄποινα] τὸ σχῆμα πρωθύστερον, θύγατρα δὲ συγκοπή.

1 13 [ἀπερείσια] ἐκ τοῦ πέρας πέρατος γίνεται ἄπειρος καὶ ἀπειρέσιος. [λυσόμενός τε θύγατρα] ἰστέον ὡς ⟨εἰσ⟩ Θήβας ⟨ἥκουσα ἡ Χρυσηῒς πρὸς Ἰ⟩ φιόνην, τὴν Ἠετίω ⟨νος μὲν ἀδελφὴν, Ἄκτοροσ⟩ δὲ θυγατέρα, θύουσαν ⟨Ἀρτέμιδι, ἥλω ὑπὸ Ἀχιλλέωσ⟩ .

1 13ter [ἄποινα] ἄφοινά τινα ὄντα, τὰ ἕνεκεν φόνου διδόμενα. [φέρων τ’ ἀπερείσι’ ἄποινα, στέμματ’ ἔχων ἐν χερσὶν] ⟨εἰ μὲν εἶεν θεο⟩ σεβεῖς, τὸ στέμμα, εἰ δὲ ⟨φιλοχρήμα⟩ τοι, τὰ ἄποινα, εἰ δὲ οἱ ⟨κτίρμονες, τὸ⟩ γῆρας αἰδεσθήσονται.

1 13-14 [ἄποινα] τὰ δῶρα τοῦ Χρύσου· χρυσὸς ἐσθὴς καὶ χαλκός. [ἄποινα] ἄποινα γίνεται ἐκ τοῦ ποινή, τοῦτο ἐκ τοῦ φόνος, τοῦτο ἐκ τοῦ φένω, τὸ ἀναιρῶ, τοῦτο ἐκ τοῦ ἔνω, τὸ φονεύω, ἐξ οὗ καὶ Ἐνυάλιος καὶ Ἐνύω, ἡ πολεμικὴ θεός, τοῦτο δὲ παρὰ τὸ ἔω τὸ πληρῶ· πλεονάζει γὰρ τὸ ν πολλάκις ἐν τοῖς στερητικοῖς, οἷον ἀνάξιος, ἀναίσχυντος, ἀναλκής .

1 13quat ..... ** τρεῖς ἐνταῦθα αἰτίας ἐξηρτημένας ἀλλήλων τίθησιν.

1 14 ** [στέμματ’ ἔχων] ὡς ἐλαφρὸν ⟨ὂν⟩ εἶπεν «ἔχων», διότι δαφνινὸν ἦν. [στέμματ’ ἔχων] πληθυντικῶς.

1 15 [χρυσέῳ] ⟨ὁ στίχος ἔχει⟩ τὴν καλουμένην περὶ τὸ μέτρον συνίζησιν. [χρυσέῳ ἀνὰ σκήπτρῳ] περὶ τῇ κεχρυσωμένῃ τε καὶ βασιλικῇ ῥάβδῳ.

1 15ter ** [ἀνὰ] ἡ ἀνά τὴν ἄνω σχέσιν δηλοῖ παρά τισιν, ἵνα νοῆται τὸ στέμμα ἐξαρτᾶσθαι τοῦ σκήπτρου. [Ἀτρείδα] Ἀγαμέμνονα καὶ Μενέλαον.

1 18 [δοῖεν] ⟨ἡ⟩ ἀνάγκη ποιεῖ αὐτὸν ⟨καὶ τοὺς οἰκείους ἐπ⟩ αρᾶσθαι, καὶ εἰκότως· ⟨οὐ βουλόμενοι⟩ γὰρ κολάζειν Ἀλέξανδρον ⟨οἱ Τρῶες, τ⟩ οῖς ἔγγιστα κακῶν πρόξε ⟨νοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γίνον⟩ ται. [δώματα] παρὰ τὸ δομῶ δομήσω δό ⟨μημα καὶ⟩ κατ’ ἀπο⟩ κοπὴν δῶμα· τὸ δὲ δομῶ ⟨παρὰ τὸ δέ⟩ μω. εἰσὶ δὲ τοιαῦτα τρέποντα ⟨τὸ ε εἰς ω ⟩ · νέμω νωμῶ, πέτω ⟨πωτῶ⟩ . Πριάμοιο πόλιν] λεληθότων ⟨πόθων⟩ ὑπέμνησεν αὐτούς, ἵνα οἰκτεί ⟨ρωσιν αὐτὸν⟩ ὑπὲρ τῆς θυγατρὸς δεόμενον.

1 19 [Πριάμοιο] ὁ Πρίαμος τὸ πρῶτον ἐκα ⟨λεῖτο Ποδ⟩ άρκης, ἐντεῦθεν ⟨δὲ⟩ προσηγορεύθη ⟨Πρίαμος. Ἡ⟩ σιόνην τὴν Λαομέδοντος θυ ⟨γατέρα .... προ⟩ κειμένην κήτει θαλασσίῳ ⟨κελεύσαντοσ⟩ Ποσειδῶνος, μᾶλλον δὲ Ἀπόλ ⟨λωνος, Ἡρακλῆσ⟩ περιέσωσεν ἐπὶ μισθῷ, οὐκ ⟨ἀποδόντος δὲ ἐκείνου τὰ⟩ συγκείμενα, εἷλεν Ἴλιον πολέ ⟨μῳ, καὶ Λαο⟩ μέδοντα χειρωσάμενος, αἰχ ⟨μάλωτον ἔλα⟩ βε τὴν Ἡσιόνην. ἡ δὲ τὸν ἀ ⟨δελφὸν Ποδ⟩ άρκην νήπιον ὄντα χρυσῆς ⟨καλύπτρας ἦσ⟩ εἶχεν ἐπρίατο, καὶ εἴασεν ἐν τῇ ⟨πόλει αὐτὸν τρέφ⟩ ειν. ὁ δὲ ἀντὶ τοῦ Ποδάρκης ἐ ⟨κλήθη Πρίαμος,⟩ ἡ δὲ Ἴλιος «Ἄτης λόφος» ἐκα ⟨λεῖτο·⟩ ἐκεῖ γὰρ τὸν Κρόνον ὁ Ζεὺς ἐξ ⟨εναρίξαι⟩ λέγεται, ὡς ὁ Λυκόφρων· « ⟨Ἄτης ἀπ’⟩ ἄκρων βουπλανο ⟨κτίστων λόφ⟩ ων». (v. 30) [ἱκέσθαι] μέσος ἀόριστος δεύτερος· διὸ παρωξύνθη.

1 22 [ἔνθα] ⟨χρον⟩ ικὸν ἐπίρρημα· ἐνταῦθα. ἄλλοι] δεισί ⟨δαιμον γὰρ καὶ μισοπόν⟩ ηρον τὸ πλῆθος. [ἱερῆα] ⟨ἱερέα καλοῦσιν ὡς τιμῶν⟩ τες, ἄποινα δὲ τὰ ἐπὶ λύτρῳ φόνου διδόμενα, ἄφοινά τινα ὄντα.

1 24 [ἥνδανε] εἰκότως οὐκ ἤρκεσε τῷ Ἀγαμέμνονι· οὐ γὰρ παρὰ τοῦ Ἀγαμέμνονος ᾔτειτο, ἀλλὰ παρὰ τῶν ἀρχομένων· « ⟨ἐλίσσετο πάντας Ἀ⟩ χαιούς», ἢ μὴ ἐπικηρυκευσάμενος ἧκεν εἰς τὴν ἐκκλησίαν. ἥνδανε] παρὰ τὸ ἥδω ἁδάνω ⟨ἀνδά⟩ νω, σημαίνει δὲ τὸ ἀρέσκω καὶ ⟨τὸ ἐπι⟩ θυμῶ καὶ τὸ εὐφραίνομαι.

1 24ter θυμῷ] κυρίως λέγεται θυμὸς ⟨μέρος τῆς ψυχῆσ⟩ , τρία δὲ αὐτῆς ἐστι, καθά φησιν ⟨ὁ⟩ Πλάτων, μέρη· τὸ μὲν λογιστικὸν, τὸ ἐν τῇ κεφαλῇ καθιδρυμένον· τὸ δὲ θυμικὸν, τὸ ⟨ἐν τῇ καρδίᾳ⟩ · τὸ δὲ ἐπιθυμητικὸν, τὸ ἐν τῷ ἥπατι, τὸ περὶ γαστέρα καὶ τὰ λοιπά. καὶ τοῦ μὲν λογιστικοῦ ἐστιν ἀρετὴ φρόνησις, κα ⟨κία δὲ ἀφρο⟩ σύνη, τοῦ δὲ θυμικοῦ ἀρετὴ ἀνδρεία, κακία δὲ δειλία, τοῦ δὲ ἐπιθυμητικοῦ ἀρετὴ ἐγκράτεια, κακία δὲ ⟨ἀκολασία. ὁ⟩ μὲν οὖν θυμὸς παρὰ τῷ ποιητῇ ⟨τὴν⟩ ψυχὴν σημαίνει, ὡς ἐν τούτῳ· «ἔνθ’ ⟨ὅγε τοὺς ἐνά⟩ ριζε, φίλον δ’ ἐξαίνυτο θυμόν» (Il. V. 155), καὶ τὰ μέρη αὐτῆς· τὸν μὲν λογισμον· « ⟨ἕτε⟩ ρος δέ με θυμὸς ἀνῆκε» (Od. IX, 302). τὸ δὲ θυμ ⟨ῶδες, ὡς ἐν τῷ⟩ «σὺ δὲ μεγαλήτορα θυμὸν ἴσχειν ἐν στ ⟨ήθεσσι⟩ · φιλοφροσύνη γὰρ ἄμεινον» (Il. IX, 255—256): τὸ δὲ ἐπιθυμητικὸν οὕτως· «ᾧ θυμῷ εἴξ ⟨ασα μίγη⟩ φιλότητι καὶ εὐνῇ.» (Od. IV. 126). [θυμῷ] ⟨θυμὸσ⟩ ἡ ψυχή ἡ ὀργή ἡ ἐπιθυμία ὁ ἐπιλογισμὸς ἡ ὁμόνοια.

1 25 ἀλλὰ κακῶς ἀφίει] ἐκ τοῦ ⟨ἵημι⟩ , τὸ πέμπω, ἱῶ, ἵουν ἵεις ⟨ἵει⟩ καὶ ἀφίει. ἰστέον δὲ ὅτι τοῦ τίθημι καὶ ἵημι καὶ δίδωμι οἱ παρῳχημένοι μᾶλλον ἀπὸ τῶν εἰς ω εἰσὶν ἐν χρ ⟨ή⟩ σει ἤπερ ἀπὸ τῶν εἰς μι. [μῦθον] μῦθος· τὸ μύω σημαίνει δύο· τὸ μανθάνω καὶ τὸ καμμύω.

1 25bis [ἔτελλε] τὸ τέλος πολλὰ σημαίνει· τέλος τὸ τάγμα, ποτὲ δὲ ⟨τὸ⟩ τοῦ συμπεπληρωμένου πράγματος ἢ ἔργου τέλος, ποτὲ δὲ τὴν ⟨τῶν⟩ ἐπεισαγομένων ὠνίων φοιτῶσαν ταῖς πόλεσι πρόσοδον, ποτὲ δὲ τὰς ἀρχὰς καὶ τὰ ἀξιώματα. [ἔτελλε] ἐκ τοῦ τέλλειν, τὸ προστάσσειν. μή σε γέρον] μετὰ σπουδῆς—δυσωπεῖ τοὺς Ἕλληνας γέρον] τὰ εἰς ων βαρύτονα φυλάττει τὸ ω καὶ ἐπὶ γενικῆς· Ἱέρων Ἱέρωνος, Νέρων Νέρωνος· τὸ δὲ γέρων σεσημείωται ὡς μετοχικὸν, κλ ⟨ίνεται δὲ⟩ διὰ τοῦ ντ .

1 26 γέγονε δὲ παρὰ τὸ εἴρω τὸ λέγω ἔρων καὶ γέρων· λεκτ ⟨ικοὶ⟩ γὰρ οἱ γέροντες· ἢ παρὰ τὸ ἔρρω τὸ φ ⟨θεί⟩ ρω ⟨ἔρρων⟩ ἔρων καὶ γέρων, ὁ πρὸς φθορὰν ἀποβλέπων. νηυσὶ] Ἰωνικῇ προπῇ τοῦ α εἰς η ναῦς ναός. δύο μόνα εἰσὶν εἰς αυς θηλυκά· ναῦς καὶ γραῦς. κλίνονται δὲ ἀμφότερα διὰ καθαροῦ τοῦ α . μετὰ συστολῆς τῆς παραληγούσης ἡ ⟨γενικὴ⟩ Ἀττικῶς γίγνεται νεώς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰωνικῶς νηός· γέγονε δὲ παρὰ τὸ νῶ τὸ πορεύομαι. [κιχείω] ἀντὶ τοῦ κιχείοιμι. [δηθύνοντα] ἐκ τοῦ δήν ἐπιρρήματος.

1 27 αὖτις] Ἀττικοὶ αὖτις καὶ αὖθις ἑκατέρως λέγουσιν. μή νύ τοι οὐ χραίσμῃ] οὐ κατάσχῃ, ἀπείργῃ· τάχα δὲ τοῦτο 〈ὑπολαμβάνει〉· οὐκ ἐθελήσει ὁ θεὸς ἐπακούειν αὐτοῦ· ὁ γὰρ περιϊδὼν αὐτοῦ τὴν θυγατέρα αἰχμάλωτον, πῶς 〈ἂν〉 ἀγανακτήσειεν οὐκ ἀποδιδομένης; * [μή νύ τοι οὐ χραίσμῃ] 〈ἀναιρεῖ τὴν ἐλ〉πίδα, οὐχ ὡς ἀσεβὴς, ἄλλ' 〈ἔστι〉· μήποτε ὁ θεὸς οὐκ ἀνέξεται τῆς σῆς ἀναιδείας ὥσπερ πορθούμενον περιεῖδε πάντως καὶ φο.

1 28bis .μενον. [σκῆπτρον] τὸ σκήπτω σημαίνει δύο, τὸ ἐπερείδομαι καὶ τὸ 〈προφασί〉ζομαι, ἐξ οὗ καὶ 〈τὸ〉 σκῆψις πρίν μιν καὶ γῆρας] πρότερον 〈ἂν〉 τὸ γῆρας αὐτὴν καταλάβοι ἢ λυθείη, ὅ ἐστι γ〈ηράσει〉 μᾶλλον παρ' ἐμοὶ ἢ λυθήσεται.

1 30 ἐν Ἄργει] ἰστέον ὅτι τὸ πάλαι ἡ Πελοπόννησος εἰς ε' διῄρητο μέρη· Ἠ〈λίδα〉 Λακωνικὴν Ἀργολικὴν Μεσσηνιακὴν Ἀρκαδικήν. ἄλλως· ἰστέον ὅτι αἱ τοιαῦται δοτικαὶ, ἐὰν μὲν ἐπιφέρηται 〈σύμφωνον〉, διαιροῦνται· «Διομήδεϊ Παλλὰς Ἀθήνῃ» (lI. V. 1), εἰ δὲ φωνῆεν, 〈οὔ〉· «σῷ θάρσει, ὅτ' ἐμὸν δολιχόσκιον ἔγχος.» (Il. VI, 126), ἐὰν μὴ καταλύη〈ται〉 μέτρον, οἷον· «〈χαρι〉ζομένη πόσεϊ ᾧ (H. V, 71). τινὰ δὲ καὶ χωρὶς μέτρου παρήλλακται· «πλήθει πρόσθε βαλόντες» (Il. XXIII, 639) «μετέπειτα 〈δὲ ἡδέϊ οἴνῳ〉» (Od. XI, 27.) [ἱστὸν ἐποιχομένην] ἀπορία καὶ λύσις· αἱ πάλαι γυναῖκες ἑστῶσαι ὕφαινον ἐπι〈πορ〉ευόμεναι τὸν ἱστόν.

1 32 [σαώτερος] συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ ** [ἔδδεισε] πρὸς γέροντα ὑποπτήξαντα ἐπὶ ἀπειλαῖς καὶ πεισθέντα εὖ ἔχει ῥηθῆναι τὸ «ἔδδεισε.

1 33 » [βῆ] 〈τὸ〉 σχῆμα ἀφαίρεσις· ἀφαίρεσις δὲ λέγεται ἡ ἐκ τῆς ἀρχῆς ἄρσις, οἷον ἔβη βῆ, ἐκεῖνος κεῖνος.

1 34 〈λέγεται〉 δὲ ἡ ἐκ τοῦ μέσου ἄρσις, οἷον οὐχὶ οὔτως οὐχ οὔτως, 〈συγκοπή, λέγεται δὲ ἡ ἐκ τοῦ τέλους ἄρσισ〉 ἀποκοπή, οἷον δῶμα δῶ, ὡς Ὅμηρος λέγει. [ἀκέων] τὸ καταπεπληγμέ〈νον ἐμ〉φαίνει διὰ τῆς σιωπῆς· 〈μόνη γὰρ λεί〉πεται τοῖς λυπουμένοις 〈ἡ ἀφω〉νία. [θῖνα] αἰγιαλὸς ἀπὸ τοῦ θείνεσθαι, 〈τουτέστ〉ι τύπτεσθαι τῇ προσρήξει 〈τῶν〉 κυμάτων. [ἀκέων παρὰ θῖνα.] ἄλλως· ἔστι δὲ καὶ ἀρσενικόν· «ἐκβάντες δ' ἐπὶ θῖνα βαθὺν καὶ ὑπήνεμον 〈ἀκτ〉ήν» (Théocrite, XXII, 33.), εἰ μὴ ἔοικε τῷ «θῆλυς 〈ἐέρ〉ση.» (Od. V, 467). [πολυφλοίσβοιο] ὀνοματοποιΐα ὁ τρόπος.

1 34bis πολυφλοίσβοιο] ῥοῖζος τῆς σαγίττας, φλοῖσβος τῆς θαλάσσης, ῥοῖβδος ἡ ἀνέμου πνοή. [τὸν ἠΰκομος τέκε Λητώ] παρεμβολή.

1 36 ἡ εὔκομος, ἀπὸ μέρους καλή. [Λητώ] Κοίου καὶ Φοιβῆς θυγάτηρ. [Λητώ] ἀλληγορία· ἡ λάθησις. [κλῦθι] τὸ κλῶ σημαίνει τὸ κλάω, ἐξ οὗ καὶ τὸ κλαίω, παρὰ τὸ κλᾶσθαι τὴν φωνὴν, τὸ κα〈λῶ〉, ἐξ οὗ καὶ 〈τὸ〉 κλῆρος, τὸ ἐπαινῶ, ἐξ οὗ τὸ κλέος, τὸ φωνῶ, ἐξ οὗ καὶ κλύω καὶ κλῦμι.

1 37 τὸ δὲ κλῦθι Λαμψακηνῶν. [κλῦθι] ὁ Χρύσης μάγ〈.

1 37bis .... ἵ〉να γένηται ὁ ἥ〈λιος ἐντι〉μότερος. [κλῦθι] ἰστέον ὅτι τὰ 〈διὰ〉 τοῦ ύω ποιοῦντα παράγωγα εἰς μι , εἰ μέν εἰσιν ὑπὲρ δύο συλλαβὰς, οὐκ ἔχουσι μέλλοντας, εἰ δὲ δισσύλλαβοι, ποιοῦσι καὶ μέλλοντας· φῦμι φύσω ἔφυν, δῦμι δύσω ἔδυν.

1 37ter [κλῦθι] ὁ Κύκλωψ υἱὸς 〈τοῦ〉 Ποσειδῶνος συμφ〈ώνῳ χρῆ〉ται ἀρᾷ. (Od. IX, 528 sqq.) [μευ] διαλύσει Ἰωνικῇ ἔμεο, καὶ κράσει Δωρικῇ ἐμεῦ. ἀργυρότοξε] παρὰ τὸ ἀργός, ὃ 〈σημ〉αίνει τὸ λευκός, τοῦτο παρὰ τὸ 〈ἀγ〉λαός, καὶ τροπῇ τοῦ ἀμετα〈βόλου〉 εἰς ἀμετάβολον καὶ ἐν ὑπερβιβασμῷ ἀργός. ἀργυρότοξε] ἀλληγορία· αἱ ἀκτῖνες τοῦ ἡλίου καθαραί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 37-38 [Χρύσην] 〈Χρ〉 ύσα μὲν ἧν πόλις Τρωϊκή. 〈Κίλλαν (?) δὲ λέγει τὴν〉 Ἀστερίαν νῆσον, 〈ἐν ᾗ ἔτεκεν ἡ Λητὼ τὴν〉 Ἄρτεμιν καὶ τὴν Ἀπόλλωνα. ἀμφιβέβηκας] τὸ μέγεθος τοῦ θεοῦ ἡ μεταφορὰ δηλοῖ ἐκ 〈τῶν τετραπόδων, ὡσ〉 περιβεβηκότος αὐτοῦ τὴν πόλιν.

1 38 [ἀμφιβέβηκας] ὑπερμαχεῖς. [Κίλλαν] ἔστι δὲ πολίχνιον τῆς Τρῳάδος.

1 38bis [Τενέδοιο] Λευκόφρυς. [Τενέδοιο] νῆσος πρὸ τῆς Τροίας. [Τενέδοιο] ὁ Κύκνος υἱὸς Ποσειδῶνος .

1 38ter ..... [ἶφι] ἀπὸ τοῦ ἴς, 〈ὃ〉 σημαίνει δύναμιν. Σμινθεῦ] ἐπίθετον τοῦ Ἀπόλλωνος· Σμίνθος γὰρ τόπος τῆς Τρῳάδος, ἐν ᾧ ἱερὸν Ἀπόλλωνος Σμινθίου.

1 39 [Σμινθεῦ] πρὸς τὸν Ἀπόλλωνα ἐπιθετικόν. ἔρεψα] ἀντὶ τοῦ ἐστεφάνωσα· παρὰ τὸ ἐρέφω, ὅθεν καὶ εἰραφιώτης —αὐτὸν πλέκεσθαι. ἔκηα] ἐπὶ τῶν βωμῶν ἔκαυσα, τουτέστιν ἐκάρπωσα. [5]

1 40 ὁ μέλλων καύσω, ὁ ἀόριστος ἔκαυσα καὶ Ἰωνικῶς ἔκηα. ἠδ' αἰγῶν] θυσίαις ταύρων καὶ αἰγῶν ἥδεται Ἀπόλλων— τὰ κέρατα τούτων.

1 41 [ἠδὲ] τὸ ἠδέ ἀντὶ τοῦ καί. τίσειαν] τιμωρίαν δίδοιεν, παράσχοιεν.

1 42 ἄλλως· τίσειαν Δαναοὶ ἐμὰ δάκρυα] διὰ τί δὲ ὁ Χρ〈ύσης οὐ〉 κατὰ Ἀγαμέμνονος—ἀπόδοσις δὲ τῆς κόρης, καὶ ἀποθανὼν μὲν 〈Ἀγαμέμνων〉 ἄλυπος ἦν, ζῶν δὲ βασ〈ανίζεται〉 ἅτε βασιλεὺς βλέπων 〈ἀπολλυ〉μένους τοὺς ὄχλους, ἢ ὅτι πᾶ〈σιν ἠρ〉άσατο ἀνθ' ὧν πάντες 〈ὁμοῦ γενό〉μενοι οὐκ ἐπέσχον τὴν τοῦ βα〈σιλέως ὕβριν〉. δικαίως οὖν αὐτοὶ—ἀνδρὸς ἀπηύρα». ** [τίσειαν] ἱκέτου λόγος· δίκας λαβεῖν αἰτεῖται κατὰ τῶν πολλὰ λυπησάντων. [5]

1 43 [εὐχόμενος] τριχῶς λέγεται· εὔχομαι τὸ εὐχὰς ἀποδίδωμι, εὐχόμαι ἀντὶ τοῦ λέγομαι, καὶ εὔχομαι τὸ καυχῶμαι. Φοῖβος] καθαρός, ἀμίαντος 〈ἢ μαντευ〉τικός· φοῖβον γὰρ τὸ καθαρόν· 〈ἴσωσ〉 δὲ μαμμωνυμικῶς αὐτὸν καλεῖ ἀπὸ Φοίβ〈ης, ὡς καὶ Ἡσίοδοσ〉. ἄλλως· φαόβιός τις ὤν, 〈τουτέστιν〉 ὁ καθαρὸν βίον ἔχων, 〈ἤγουν τὸν〉 βιὸν ἤτοι τὸ τόξον ἔχων λαμπρόν. Οὐλύμποιο] ὄρος Μακεδονίας ὁ Ὄλυμπος, τὸ σφαιροειδὲς τῆς φ〈ύσεωσ〉 καὶ ὁ οὐρανός. [5]

1 44 κῆρ] περισπωμένως μὲν τὴν ψυχὴν, ὀξυτόνως δὲ τὴν θανατηφόρον μοῖραν 〈σημαίνει〉. [ἀμφηρεφέα] κοινή ἐστιν, οὐκ ἔκτασις.

1 46 ἐπ' ὤμων] ὦμος καὶ νῶτος διαφέρει· ὦμος παρὰ τὸ ὦ τὸ βαστάζω, νῶτος δὲ ἡ ῥάχις ...... [νυκτὶ ἐοικώς] σκότει παραπλήσιος, φοβερὸς καὶ ἀόρατος.

1 48 ἕζετ' ἔπειτα] τῷ εἶτα προσετέθη ἡ ἐπὶ πρόθεσις, λοιπὸν γέγονεν ἐπίειτα, καὶ κατὰ κρᾶσιν ἔπειτα, καὶ ἀπετελέσθη σύνδεσμος. δεινὴ δὲ καὶ φοβερὰ ἠχὴ ἐγένετο ἀπὸ τοῦ βιοῦ, τῆς νευρᾶς τοῦ ἀργυροῦ τόξου.

1 49 [βιοῖο] προπερισπᾶται ἀπὸ ὀνομαστικῆς τῆς βιός ὀξυτόνου, διὰ τὴν πρὸς τὸν βίον ἀντιδιαστολήν· ἔοικε δὲ ὑπὸ τῶν ἀρχαίων ὁμωνύμως λέγεσθαι βιὸς τὸ τόξον 〈καὶ ἡ ζωή. Ἡρά〉κλειτος γοῦν ὁ σκοτεινός· «τῷ τόξῳ ὄνομα μὲν βιὸς, ἔργον δὲ θάνατος». ἤτοι οὖν παρὰ τὴν βίαν τῆς τάσεως, 〈ἢ ὅτι〉 δι' αὐτοῦ τὰ πρὸς τὸν βίον οἱ ἀρχαῖοι 〈εἶχον〉 ἐν ταῖς θήραις αὐτῷ χρώμενοι. [βιοῖο] τῆς τοῦ τόξου νευρᾶς, παρὰ τὸ εὔβια πέμπεσθαι. [5]

1 50 οὐρῆας μὲν πρῶτον] διὰ τί δὲ ἀπὸ τῶν κυνῶν—φροντίζοντες οὐ ζητοῦσιν. ** [πρῶτον] ἀντὶ τοῦ πρώτους.

1 50bis Ἀττικὸν τὸ σχῆμα. Man. rec. Φιλάνθρωπος ὢν ὁ θεὸς πρῶτον τὰ ἄλογα ζῷα τιμωρεῖ, ἵνα φόβῳ παρακαλῇ τὸν Ἀγαμέμνονα 〈εἰς τὸ εὐσεβεῖν〉, εἶτα τοὺς λαούς.

1 50-51 καὶ οὐ τὸν Ἀγαμέμνονα διὰ πλείονας τιμω〈ρεῖ .....〉 αὐτοῦ, ὡς ἂν ὁρῶν τὸν λαὸν αὐτοῦ φθειρόμενον λυπῆται πλειόνως. ἀργούς] σημαίνει ἡ λέξις τὸν ἐν τῇ συνηθείᾳ ἀργόν, 〈ση〉μαίνει δὲ πρὸς ἀντίφρασιν τὸν ταχὺν καὶ τὸν λευκόν. διὰ τί ὁ Ἀπόλλων ὑπὲρ τοῦ Χρύσου οὔτε τὸν Ἀγαμέμνονα 〈οὔτε τῶν ἄλλων βασιλέων οὐδένα τιμωρεῖ; ῥητέον ὅτι εἰ Ἀγαμέμνων〉 ἢ

ἄλλος τις βασιλεὺς ἀπώλετο, ᾤχοντο ἂν ἀποπλέοντες, καὶ οὐδ’ ἂν ἀπεδόθη ἡ Χρυσηΐς, σωζ 〈ομένων δὲ τῶν βασιλέων, μέλλουσιν ἀπο〉 δώσειν.

1 51bis αὐτὰρ ἔπειτ’ αὐτοῖσι] διαφέρει τὸ αὐτάρ τοῦ δέ, ὅτι ὁ μὲν —ὑποτάσσεται. ἐχεπευκὲς] ἔχον πικρίαν—αὐτῆς ἐστι πικρόν. Gen. ajoute: ἤγουν πίσσα. [ἐχεπευκὲς] μετὰ τὸ κοπῆναι τὴν κορυ 〈φὴν〉 ἄλλοτε οὐ θάλλει. [βάλλε] ἐτίτρωσκεν, ἐκ βολῆς ἀνῄρει.

1 52 [αἰεὶ δὲ] τότε διὰ παντός. [αἰεὶ] 〈ἰστέον ὅτι〉 τοῦ αἰεί καὶ ἀεί φωναὶ δώδεκα· αἰεί καὶ αἰέν καὶ 〈αἰείν〉 ποιητικῶς, 〈καὶ〉 ἀεί συνεσταλμένου τοῦ α καὶ 〈ἐκ〉 τεταμένου, καὶ αἰΐ Αἰολικῶς διὰ τοῦ ι , 〈καὶ αἰΐν〉 παρὰ τοὶς αὐτοῖς σὺν τῷ ν , καὶ ἀΐ δισυλλάβως, ἐξ οὗ καὶ τὸ ἀΐδιος, 〈καὶ〉 ἠΐ παρὰ τοῖς Βοιωτοῖς, 〈καὶ αἰή παρὰ τοῖς Ταραντινοῖς,〉 καὶ Δωρικῶς αἰές· εὕρηται δὲ καὶ ἀέ παρὰ 〈Πει〉 σάνδρῳ. θαμειαί] συνεχεῖς. πῶς, φασὶν, ὁ ποιητὴς ἐναντία ἑαυτῷ λέγει —φθειρόμενοι ἐκαίοντο. ἄλλως θαμειαί] 〈θαμειόσ〉 . γίγνεται παρὰ τὸ θαμὰ ἐπίρρημα, τὸ συνεχῶς καὶ πυκνῶς, θαμός θαμειός θαμειαί, τὸ δὲ θαμά ἐκ τοῦ ἅμα· σεσημείωται κατὰ τὸν τόνον. ὁ Ὠρίων· ὁ μέντοι Χάραξ, μᾶλλον τὸ ἅμα ἐκ τοῦ θαμά. διὰ τί τὸν λοιμόν φησιν ἐπὶ ἐννέα ἡμέρας κατασχεῖν τὸν στρατὸν τῶν Ἑλλήνων; οἱ μὲν ὅτι εὐεπίφορός ἐστιν ὁ ποιητὴς ἐπὶ τὸν ἐννέα ἀριθμόν· φησὶ γοῦν· «οἱ δ’ ἐννέα πάντες ἀνέσταν» (Il.

1 53 VII. 161) καὶ «ἐννέα δέ σφεας κήρυκες» (Il. II. 96, 97), 〈ἄλλοι δὲ〉 ὅτι περὶ φθορᾶς ἀνθρώπων διαλέγεται, ὁ δὲ ἐννέα ἀριθμὸς τοῖς καταχθονίοις ἀνεῖται. [ἐννῆμαρ] καθόλου μὲν τὸν περιττὸν 〈ἀριθμ〉 ὸν κρείσσονα τοῦ ἀρτίου νενόμικεν Ὅμηρος, ὅπερ καὶ οἱ περὶ Πυθαγόραν φιλόσοφοι μάλιστα ἐκράτυναν, ἐπειδήπερ ἐστὶν ἀδιαίρετος ὁ περιττὸς, ἀεὶ τῆς μονάδος αὐτοῦ περιούσης, ὁ δὲ ἄρτιος τὴν ἐνθάδε διαίρεσιν ἐπιδέχεται. 〈καὶ ὁ〉 μὲν περιττὸς γόνιμος, ὅτι προστιθέμενος ἑαυτῷ γεννᾷ τὸν ἄρτιον, ὁ δὲ ἄρτιος οὐδέποτε γεννᾷ τὸν περιττόν. 〈μά〉 λιστα δὲ τὸν ἐννέα ἀριθμὸν τέλειον ἡγεῖται· ἔστι γὰρ ἀπὸ τοῦ πρώτου περιττοῦ τετράγωνος περιττός. ἐννῆμαρ] ἐπίρρημα ἐννῆμαρ ἑξῆμαρ αὐτῆμαρ. οὐδὲν τῶν εἰς αρ συντιθεμένων 〈οὐδέτερον〉 . τὸ ἦμαρ ἀεὶ μετ’ ἀκλίτων. [κῆλα] νῦν τὰ βέλη· ὁτὲ δὲ καὶ τὰ σημεῖα.

1 55 [Ἥρη] ἡ ψυχικὴ δύναμις, ἡ οἰκουμενικὴ φρόνησις. [θεὰ λευκώλενος Ἥρη] καλεῖται ἀπὸ μέρους καλή. ὁ δὲ τρόπος σωματοποιΐα. ὠλέναι δὲ αἱ χεῖρες. [λευκώλενος Ἥρη] ἀφ’ ἑνὸς δὲ μέρους ὁ ποιητὴς παρί 〈στη〉 σιν ὅλην. κήδετο γὰρ] εὐλόγως ἐφρόντιζε—ἐν τῇ τοῦ 〈μήλου κρίσει〉 .

1 56 [ὁρᾶτο] ἑώρατο Ἰωνικῶς. τοῖσι δ’ ἀνιστάμενος] τὸ γὰρ παλαιὸν—τυχῆς λαμπρᾶς—ἐδημηγ 〈όρει ὀρθὸς ἱστά〉 μενος.

1 58 [πόδας ὠκὺς] διὰ τοῦτο δηλοῖ ἡμῖν τοῦ ἥρωος τὸ εὐκίνητον. [νῦν] ἄρτι, χρονικὸν ἐπίρρημα. [ἄμμι] ἡμᾶς Αἰολικῶς.

1 60 [ἂψ ἀπονοστήσειν] νόστος γὰρ ἡ εἰς οἰκείους ἀποστροφὴ διὰ τὸ τῆς πατρίδος ἡδύ. * [ὁμοῦ] ἅμα χρόνον, ὁμοῦ τόπον.

1 61 [ὁμοῦ—δαμᾷ] κατὰ τὸν αὐτὸν τόπον ἥκουσιν. [καὶ γάρ τ’ ὄναρ] καὶ γάρ τι ὄναρ· οὐ γὰρ πᾶν λέγει ἀληθές, ἐπεί φησιν οὐ πάντας ὀνείρους εἶναι ἀληθεῖς.

1 63 [καὶ γάρ τ’ ὄναρ] μάντευμα ἀπὸ τῆς εἱμαρμένης ἢ τοῦ νοῦ. [ἐχώσατο Φοῖβος] τῶν αἰφνιδίων θανάτων αἴτιόν φασι τὸν Ἀπόλλωνα.

1 65 ἑκατόμβης] τελείας θυσίας, ἤτοι τῆς ἀπὸ ἑκατὸν βοῶν, ἢ ἀπὸ ἑκατὸν βημάτων, ὅ ἐστιν ἐξ 〈κε′ ζῴων〉 . [ἑκατόμβης] ἑκατὸν ἢ κε′ βοῶν. [κνίσης] λίπους, ἀφ’ οὗ ἡ θυσία.

1 66bis αἰγῶν 〈τε〉 τελείων] ἤτοι τὴν ἡλικίαν ὁλοκλ 〈ήρ〉 ων· λελωβημένον γὰρ οὐ 〈δὲ〉 ν θύεται, ἀλλ’ ὑγιὴς ἡ τῶν τελουμένων θυσία. ** [αἰγῶν τε τελείων] τὰς μὴ γεννησάσας τε καὶ καθαράς.

1 67 [ἀπὸ λοιγὸν ἀμῦναι] ὀρθοτονεῖται τὸ «ἀπό» ὡς 〈ἐν τῇ τάξει〉 ἐπιμένον· ὀρθοτονεῖται γὰρ 〈ἡ πρόθεσισ〉 τῷ ῥήματι ἐπαγομένη. [ἡμῖν ἄπο] χωρὶς ἡμῶν.

1 68 λείπει ὀρθῶς. [Θεστορίδης] ὁ δὲ τρόπος πατρωνυμικὸς εἴρηται.

1 69 [ὄχ' ἄριστος] λείπει τὸ μάντις. ἔστι δὲ τελείου μάντεως τὸ ἐπίστασθαι τοὺς γ' χρόνους ἀκριβῶς.

1 71 [εἴσω] περισσὸν τὸ ω , ὅπερ λέγεται προσχηματισμός. [τήν οἱ πόρε Φοῖβος Ἀπόλλων] τὰς εἰς ἄκρον εὐεξίας θεῶν δῶρά φησιν [εἶναι.

1 72 ] [Φοῖβος Ἀπόλλων] ἄνθρωπος μάντις. * [ἐϋ φρονέων] πρὸς τὴν τοῦ βασιλέως ἀβελτηρίαν * [διῒ φίλε] 〈διίφιλοι οἱ〉 εὐδαίμονες, οἱ γενόμενοι ἐν τῷ ἀστέρι τοῦ Διός [ἑκατηβελέταο] διὰ τὰς ἀκτῖνας ἢ τὸ τόξον.

1 76 [τοὶ γὰρ] ἀντὶ τοῦ δή. [ἐγὼν] Αἰολικῶς. [ὄμοσσον] Αἰολικὴ ἡ διάλεκτος. [χολωσέμεν] Δωρικῶς.

1 78 * [χολωσέμεν] οἱ Αἰολεῖς 〈τὸ〉 φαγεῖν φαγέμεναι λέγουσι καὶ τὸ πιεῖν πιέμεναι. [ἔχει κότον] ἔδειξε 〈τὴν〉 διαφορὰν τοῦ χόλου πρὸς τὸν κότον.

1 82 διὰ πάντων δὲ ὑποφαίνει τὸ ὕπουλον τοῦ Ἀγαμέμνονος. ἀπ〈λοῦς δὲ〉 ὁ Ἀχιλλεύς. [σαώσεις] ὁ τρόπος ὑπερβολή * [σαώσεις] Αἰολικὴ διάλυσις.

1 85 [θαρσήσας] ὡς ἀγαθὸς προκρίνει τὸ κοινῇ τοῦ ἰδίᾳ 〈συμφέροντοσ〉. ἄλλως· θεοπρόπιον] τὸ τοῖς θεοῖς 〈πρέπον〉· οὗτοι γὰρ— τοῖς θεοῖς ἀρέσκοντα Gen. ajoute καὶ ἀνθρώποις ἄγνωστα προθεραπεύει διὰ τὸ πλῆθος.

1 85bis [οἶσθα] Αἰολικῶς. * [Κάλχαν] τὰ ἀπὸ τῶν εἰς 〈 ας 〉 εὐθειῶν εἰς ντος γινόμενα ἐπὶ γενικῆς διὰ τοῦ ν προφέρουσιν οἱ Ἴωνες 〈ἐπὶ κλητικῆσ〉.

1 86bis ** [μὰ] τὸ μά ἀπωμοτικὸν, τὸ νή κατωμοτικόν. ** [οὐ μὰ] Ἀττικὸν τὸ σχῆμα· αἱ γὰρ δύο ἀποφάσεις ἀντὶ μιᾶς λαμβάνονται.

1 88 [ἐμεῦ] Ἰωνικῶς. [συμπάντων Δαναῶν] τὸ σχῆμα ἐξοχή.

1 90 συμπάντων] Ἀττικῶς. [ἀμύμων] Αἰολικῶς.

1 94 ** ἀρητῆρος] ἢ παρὰ τὸ ἄρς ἀρνός ἀρητήρ ἱερ〈εύει γὰρ ἄρνασ〉· ἢ παρὰ τὸ ἄρνημι τὸ μετ〈εωρίζω〉. [θύγατρα] Αἰολικῶς.

1 95 [οὐκ ἀπεδέξατο] Ἀττικῶς. τὸ δὲ ἐπιμέμφεται ἀπὸ κοινοῦ δεῖ λαμβάνειν [λοιμοῖο βαρείας χεῖρας] κακωτικὸς γὰρ καὶ διαφθαρτικὸς ὁ λοιμός.

1 98 [ἑλικώπιδα] ἑλικὸν γὰρ κατὰ διάλεκτον καλεῖται τὸ μέλαν. [πεπίθοιμεν] ὅμοιόν ἐστι— ἀναδιπλασιάζειν.

1 108 [εἶπας] Αἰολικῶς. [κούρης] Ἰωνικῶς.

1 111 [κούρης] γίνεται παρὰ τὸ οὐρῶ τὸ φυλάσσω οὔρη καὶ πλεονασμῷ τοῦ κ κούρη. Κλυταιμνήστρης] ἡ Κλυταιμνήστρα γυνὴ μὲν—ἀδελφή.

1 113 Gen. ajoute παρὰ τὸ κλυτός καὶ τὸ 〈μήστρα, πλεονασμῷ τοῦ ν〉. τοῦτο παρὰ τὸ μήδω τὸ βουλεύομαι· ἡ ἔνδοξα βουλευομένη. προβέβουλα κουριδίης] διὰ τί ὁ Ἀγαμέμνων— μηδὲν πασχούσης ἐφύβριστον.

1 113-114 [κουριδίης] τῆς νέας κατὰ τὴν ἡλικίαν. [ἕθεν] αὐτῆς Ἀττικῶς. [ἕθεν] ποίου εἴδους πρωτοτύπου; οἱ μὲν νέοι ἐκ τοῦ σοῦ, κατὰ διάλυσιν σέο σεόθεν καὶ κατὰ συγκοπὴν καὶ ἀποβολὴν τοῦ ς ἕθεν, ὁ δὲ Ἡρωδιανὸς ἐκ τοῦ ἐμέ σέ ἕ τρίτον πρόσωπον, καὶ κατ' ἐπέκτασιν τῆς θεν ἕθεν. ἕθεν] ἰστέον ὅτι τὸ ἕθεν χωρὶς τοῦ κ εὑρέθη, διότι ἐγκλίνεται, τὰ δὲ ἐγκλινόμενα .... ποτε προσλαμβάνουσιν, οἷον ἤκουσέ μου, οἰκτείρησόν με. ἄλλως δὲ αἰτία μέν ἐστιν ἡ ἄρνησις τοῦ πλεονασμοῦ, ἀλλ' οὐ δύναται καταλήγειν εἰςκ · οὐδέποτε γὰρ λέξις Ἑλληνικὴ εἰς ἄφωνον λήγει. δεῖ οὖν ἐπιφέρειν αὐτὸ τῇ ἑτέρᾳ λέξει. εἰ οὖν ἔλαβεν αὐτὸ ἕθεν, ἔμελλε φυλάττεσθαι ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλεονασμῷ, καὶ οὐκέτι ἐνεκλίνετο. οὐ δέμας οὔτε φύην] «δέμας» ὁ ποιητὴς τὸ ἔμψυχον— σῶμ' αἰσχύνομαι.

1 115 » ἄλλως· δέμας τὸ σῶμα ζῶν, παρὰ τὸ συνδεδέσθαι, δέμας τὸ νεκρὸν, 〈παρὰ τὸ〉 δαμασθῆναι. δέμας] γίνεται ἀπὸ τοῦ δῶ δεῖς δεῖ, ἐξ οὗ γίνεται ῥῆμα εἰς μι δίδημι, ὁ παθητικὸς παρακείμενος δέδεμαι, καὶ ἐξ αὐτοῦ δέμας· τὸ γὰρ σῶμα δεσμός ἐστι τῆς ψυχῆς· δεῖ δὲ γινώσκειν ὅτι ὁ ποιητὴς δέμας εἴωθε καλεῖν τὸ ἔμψυχον, παρὰ τὸ δεδέσθαι τὴν ψυχὴν ἐν αὐτῷ, σῶμα δὲ τὸ ἄψυχον, ἐπεὶ σῆμά ἐστιν, ὡς τάφος τοῦ ποτὲ ζῶντος. ἐκ δὲ τοῦ δίδημι ὁ παρατατικὸς ἐδίδην, τὸ τρίτον ἐδίδη, καὶ ἐκβολῇ τοῦ ε δίδη, ἐξ οὗ καὶ τὸ «δίδη μόσχοισι λύγοισι». (Il. XI. 105.) [φυὴν] «φυὴν» καλεῖ τὸ κάλλος. ἐν δὲ 〈τούτῳ〉 τῷ στίχῳ πᾶσαν ἀρετὴν γυναικὸς ἐσήμανεν ὧς ἐθέλω] περ 〈ισπᾶται〉 τὸ «ὧς»· σημαίνει γὰρ τὸ ὅμως.

1 116 [δόμεναι] Αἰολικῶς. σόον] τὸ «σόον» μετὰ διαιρέσεως, ἀπὸ τοῦ σεύω σέω σόος.

1 117 τὰ ἔχοντα τὸ ε ἐγκείμενον .... ἢ ἀπολέσθαι] τὸ «ἤ» ἀντὶ τοῦ καί παρ〈είληπται〉. ἤτοι «βούλομαι ἐγὼ τὸν λαὸν σόον ἔμμεναι καὶ ἐμὲ ἀπολέσθαι». ἀγέραστος] ἵνα μὴ δοκῇ—τὸ ἴσον αἰτεῖ.

1 119 [ἔοικεν] τὸ ὅμοιόν ἐστι, τὸ φαίνεται καὶ τὸ πρέπει. λεύσσετε] τῶν εἰς σσω ληγ〈όντων τοὺς μέλλοντασ〉 οἱ Αἰολεῖς διὰ δύο ς , τοὺς δὲ 〈εἰς πτῶ ἐνεστῶτας καὶ οὕτως προφέ〉ρουσιν, οἷον πέπτω πέσσω, ὄπτω ὄσ〉σω· πάρεστι γοῦν.

1 122 κύδιστε] παρὰ τὸ κῦδος. τοῦτο παρὰ τὸ κύω τὸ φιλῶ· τὴν γὰρ δόξαν πάντες φιλοῦσιν. [κύδιστε, φιλοκτεανώτατε] ἐπιπλοκὴ ψόγου καὶ ἐπαίνου. [πῶς γάρ τοι] παρολκὴ περισσή.

1 124 [οὐ δέ τί πω] ὁ «δέ» ἀντὶ τοῦ γάρ. ξυνήϊα] ξυνόν ξυνεῖον, ὡς κοινόν κοινεῖον, καὶ κατὰ διαίρεσιν Ἰωνικὴν 〈ξυνήϊον〉. ξυνὸν δὲ τὸ κοινόν. Ἀττικὴ τοῦτο φράσις. [πολίων] κοινῶς ε , Ἀττικῶς ι .

1 126 παλίλλογα] παρὰ τὸ λέγω τὸ συλλέγω. ἄλλως· οὐ δίκαιόν ἐστιν εἰς τὸ αὐτὸ—διαμερισθῆναι χρήματα. ἀποτίσομεν] πιστοῦται—χρέει.

1 128 αἴ κέ ποθι Ζεὺς] ὅτι μεθ' ὑπεξαιρέσεως—τῆς τύχης. [δῶσι] τὸ σι ἐπέκτασις.

1 129 Τροίην] κτητικὸν, ἐκ τοῦ Τρῶς Τρῶος Τρωϊκός, καὶ ἀποβολῇ 〈τοῦ κ 〉 Τρώϊος, τοῦ τόνου ἀναδιδομένου, ὡς τὸ 〈Ὀλυμπι〉κός Ὀλύμπιος, καὶ Τρώϊος Τρωΐα, Ἰωνικῶς 〈Τρωΐη, καὶ〉 συστολῇ ποιητικῇ τοῦ ω εἰς ο διὰ τὸ 〈μέτρον〉 καὶ ἐν συναιρέσει Τροία καὶ Τροίη. 〈ἄλλως· τὸ〉 ο μικρὸν διὰ τί; κατὰ διάλυσιν Ἰωνικήν. Τροΐην 〈δὲ τὴν Τροί〉ην· οὐ γὰρ Τρωϊκὴν ἑτέραν πόλιν 〈λέγει〉, ἀλλ' αὐτὴν τὴν Τροίαν· οὕτως ὁ Τζέτζης. εὐτείχεον] ταύτην λέγει «εὐ 〈τείχεον» διὰ τὸ〉 ὑπὸ θεῶν τετειχίσθαι καθ' Ὅμηρον Ποσειδῶνος καὶ Ἀπόλλωνος. ἐξαλαπάξαι] λάπαθος εἶδος βοτάνης, ἥτις ἐστὶ 〈φάρ〉μακον κενωτικὸν τῶν παθῶν. ἐκ μεταφορᾶς. [ἐξαλαπάξαι] 〈ἐκ〉 τῆς λαπάθης τὸ ἀλαπάξαι. ἀγαθός περ ἐὼν] εἰρωνεία· ὡσαύτως τὸ 〈κύδισ〉τε.

1 131 ὁδὲ πέρ ἐναντιωματικός· ἀγαθὸς 〈καίπερ ἐ〉ών. ἄλλως· κατ' εἰρωνείαν ὁ 〈ἀγαθόσ〉. [ἀγαθός] κατ' εἰρωνείαν. [θεοείκελε] ἰστέον δὲ ὅτι εὐειδέστατος ἦν πάντων τῶν Ἑλλήνων ὁ Ἀχιλλεὺς καὶ γυναικοπρόσωπος—ἀνήρ. θεοείκελε] ἐκ τοῦ εἴκω τοῦ ὁμοιῶ, ὅπερ 〈γράφεται〉 διὰ διφθόγγου· καὶ γὰρ τὸ ἔοικα παράκειται. .....ται πολλάκις ὅτι ὥσπερ ἀπὸ τοῦ σθένω Σθένελος, πέμπω πέμπελος, ἄγω ἄγελος καὶ ἄγγελος, 〈εἴδω〉 εἴδελος καὶ εἴδωλον καὶ ἀείδελος διὰ διφθόγγου, οὕτως ἀπὸ τοῦ εἴκω εἴκελος καὶ ἐν συνθέσει θεοείκελος. τὸ δὲ 〈ἁπλοῦν〉 διφορεῖται, τὸ δὲ σύνθετον ἀεὶ διὰ τῆς 〈διφθόγγου〉. κλέπτε] ἀντειρωνεύεται.

1 132

⟨παρὰ τὴν⟩ κλοπὴν τὴν ἀπατὴν λέγει. τὸ δὲ «παρε⟨λεύσεαι» ἐκ⟩ μεταφορᾶς τοῦ δρόμου ἐν ᾧ ὁ παρελθὼν ⟨νικᾷ⟩. κλέπτε νόον ἐπεὶ—πείσεις] ἐκ μεταφορᾶς τῶν τρεχόντων δρομαίως.

1 134 [κέλεαι] Ἰωνικῶς. ἀλλ’ εἰ μὲν δώσουσι] οὕτω ⟨τινές· «ἀλλ’⟩ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ, ⟨ἄξω ἑλ⟩ ὼν», ⟨ὡσ⟩ ὑπερβατόν.

1 135 οἱ δὲ οὕτως· «ἀλλ’ εἰ μὲν δώσουσι γέρας μεγάθυμον Ἀχαιοὶ, ἔσται», ὡς ἐλλειπτικόν· ἴδιον γὰρ τῶν θυμουμένων τὸ μὴ πληροῦν τὸν λόγον. [ἀλλ’ εἰ μὲν δώσουσι] ⟨οὐκ ἐλλιπὲς τὸ τῆσ⟩ φράσεως, ἀλλ’ ἀρχαϊκόν· Ἀριστοφάνης ἐν τῷ Πλούτῳ· (467—471) «καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον τὸ πρῶτον αὐτοῦ· κἂν μὲν ἀποφήνω ⟨μόνην⟩ ⟨ἀγαθῶν ἁπάντων⟩ οὖσαν αἰτίαν ἐμὲ ὑμῖν δι’ ἐμέ τε ζῶντας ὑμᾶς· εἰ δὲ μὴ, ποιεῖ⟨τον ἤδη τοῦθ’ ὅ τι ἂν⟩ ὑμῖν δοκῇ. [ἄρσαντες] ὁ μὲν Ἀρίσταρχος δασύνει, ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ.

1 136 ἀντάξιον] ποιήσαντες τὸ ἀρεστόν μοι, ὅπως ἰσοστάσιον τῆς ψυχῆς μου γένηται. [ἢ τεὸν] τὴν Βρισηΐδα.

1 138 [ἢ Αἴαντος] τὴν Τέκμησσαν τὴν Τεύθραντος θυγατέρα. [ἢ Ὀδυσῆος] τὴν Λαοδίκην τοῦ Κύκνου θυγατέρα.

1 138bis ταῦτα δὲ αἰνιγματωδῶς φησι. τὸ δὲ ὅλον ἀπετείνετο πρὸς Ἀχιλλέα. [καὶ αὖτις] Ἰωνικῶς.

1 141 [μέλαιναν] βαθεῖαν ἢ τῇ πίσσῃ κεχρισμένην. ἐπιτηδὲς] ἐκ τοῦ ἐπιτηδής ἐπιτηδέος ἐπιτη⟨δέεσ⟩ καὶ ἐπιτηδές ἐν συγκοπῇ.

1 143 [καλλιπάρῃον] ἄλλως· κανών· τὰ ἀπὸ ⟨τοῦ⟩ κάλλος ἐν τῇ συνθέσει διὰ τοῦ ι γράφεται, οἷον καλλίκομος καλλιγράφος, τὸ δὲ καλλιπάρηος Αἰολικῶς διὰ τοῦ η , ὡς τρέποντες τὴν ει δίφθογγον εἰς η . τὸ δὲ παρειά διὰ διφθόγγου. [καλλιπάρῃον] κανών· τὰ εἰς α θηλυκὰ ὀξύτονα τῷ ι μόνῳ θέλουσι παραλήγεσθαι, πλὴν τοῦ ζειά, εἶδος ὀσπρίου, ⟨τοῦ⟩ χειά, ὁ φωλεὸς ὄφεων .... τὸ δὲ παρειά παρὰ τὸ παριέναι τὴν ὠχρίασιν. [καλλιπάρῃον] ἀπὸ μέρους καλήν. ὄφρ’ ἥμιν] τὸ ὄφρα σημαίνει δύο· σύνδεσμον αἰτιολογικὸν, ἀντὶ τοῦ ὅπως, καὶ χρόνου δηλωτικὸν, ὡς τὸ «ὄφρ’ ἂν Ἀχαιοὶ υἱὸν ἐμὸν τίσωσι» (Il.

1 147 I, 509—510). τὸ δὲ ἥμιν πρὸ μιᾶς ἔχει τὸν τόνον καὶ ἐγκλίνεται· ἡ γὰρ ἔγκλισις .... τῇ προηγουμένῃ λέξει, ὅτε ἐστὶν ἡ λέξις ἤτοι μονοσύλλαβος ἢ δισύλλαβος βραχυκατάληκτος, ὡς τὸ εἰμί· «ἄνθρωπός εἰμι» «ἄνθρωπός ἐστι», καί φημί «ἕνεκά φημι», μονοσύλλαβος δὲ, ὡς τὸ «ἤκουσέ μου». ὅτε δὲ σπονδειακή ἐστι, τότε τῇ προηγουμένῃ συλλαβῇ ἀναδίδωσι τὸν τόνον, οἷον «ἐλάλησεν ἥμιν» «ἤκουσεν ἥμων» «ἔτυψεν ἥμας». ἑκάεργον] πόρρωθεν εἴργοντα ἢ ποι⟨οῦντα καὶ⟩ ἐργαζόμενον τοξότην. [ἐπιειμένε] φιλοτέχνως δὲ ⟨τὴν⟩ ἰδίαν ὕβριν κεκοινοποίηται.

1 149 ἐπιειμένε] ὁ γὰρ φιλοχρήματός ⟨ἐστι⟩ καὶ ἀναιδής. κερδαλεόφρων δὲ ἢ ὁ παν⟨οῦργοσ⟩, παρὰ τὸ κερδώ, ὅ ἐστιν ἀλώπηξ, ἢ ὃ φιλοχρήματος, παρὰ τὸ ἐν κέρδει ⟨ἔχειν⟩ τὸν νοῦν. [κερδαλεόφρον] ἢ περὶ κέρδη τὸν νοῦν ἔχων, τουτέστι κερδαίνειν φρονῶν.

1 149bis κερδαλεόφρον] ⟨τὰ κέρδεα⟩ ἁπλᾶ μὲν μέσα, συντιθέμενα δὲ ψόγον δηλοῖ. φυλάσσει δὲ τὸν τόνον τὰ παρὰ τὸ φρήν ⟨ἐπὶ κλητικῆς, τὰ δὲ⟩ ἄλλα ἀναπέμπει, πλὴν τοῦ Λακεδαίμων. [πείθηται] Ἀττικῶς.

1 151 ἢ ὁδὸν] ὁδός σημαίνει τρία· τὸν πλοῦν, ὡς τὸ «τὴν ὁδὸν ἣν Ἑλένη ⟨ν περ ἀπήγαγεν⟩ εὐπατέρειαν» (Il. VI, 292.), καὶ τὴν ἐνέδραν, ὡς τὸ «ὁδὸν ἐλθέμεναι ἢ ἀνδράσιν», καὶ ⟨τὸν νόμον⟩, ὡς τὸ «μακάριοι οἱ ἄμωμοι ⟨ἐν ὁδῷ⟩, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου». (Psalm. CXVIII, v. 1.) ** [ἐλθέμεναι] τὸ ἐλθεῖν ἐλθέν λεγόμενον Δωρικῶς, ἐὰν πρὸ τοῦ ν τὴν με συλλαβὴν ἔχῃ, ἐλθέμεν λέγεται, ⟨ὡσ⟩ καὶ χολωσέμεν ⟨καὶ⟩ λεγέμεν, ⟨εἰ δὲ⟩

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκταθήσεται τῇ αι διφθόγγῳ ἐν τῷ τέλει, ἐλθέμεναι λέγεται, ὡς καὶ χολωσέμεναι καὶ λεγέμεναι. 〈καὶ γίγνεται τὸ αὐτὸ ἐν〉 τοῖς εἰς ῆναι ἀπαρεμφάτοις, ὡς ἐν τῷ θωρηχθῆναι θωρηχθήμεναι. τὰ δὲ εἰς ναι 〈τοῦ δευτέρου ἀορίστου, διφθόγγου μὲν〉 παραληγούσης δέχονται τὴν με συλλαβὴν, ἀλλ᾽ ἀποβάλλουσιν ἕνα τῶν φωνηέντων, 〈οἷον δοῦναι δόμεναι, θεῖναι θέμεναι, ἑνὸς δὲ φωνηέντος παραλήγοντος, φυλάσσουσιν αὐτὸ πρὸ τῆς με συλλαβῆς, οἷον στῆναι στήμεναι, βῆναι βήμεναι ....〉 . [ἐλθέμεναι] Αἰολικῶς. αἰχμητάων] αἰχμητὰς τοὺς Τρῶάς φησιν πρὸς φόβον τοῦ Ἀγαμέμνονος.

1 153 [ἐπεὶ οὔτι μοι αἴτιοί εἰσιν] ὡς κοιναὶ συλλαβαὶ βραχεῖαι αἱ δίφθογγοι αὗται 〈νομ〉 ίζονται. οὐ γὰρ πώποτε] τὰς αἰτίας ὑπογράφει δι᾽ ἃς 〈φιλεῖ ὁ〉 πόλεμος γίνεσθαι, οὐ διὰ γύναιον.

1 154 [βοῦς] Ἀττικῶς. ἐν Φθίῃ] πόλις Θετταλίας παραθαλασσ〈ία〉 , πατρὶς Ἀχιλλέως.

1 155 βωτιανείρῃ] δι〈ὰ τούτων ἐξ〉 αίρων τὴν χάριν ἐπαινεῖ τὴν πατρίδα. [ἐπεὶ ἦ] Ἀττικῶς.

1 157 οὔρεα] Ἰωνικῶς. θάλασσά τε ἠχήεσσα] ἀπὸ τῆς τῶν κυμάτων κινήσεως. ὁ δὲ λόγος· οὐδέποτε ἠδίκησαν—ἀστυγείτονα. ἀλλὰ σοὶ ὦ μέγ᾽ ἀναιδές] τοῦτο δὲ παρά τισιν οὕτως ἐπιτάσσεται· «ἀλλὰ σοὶ ὁμοῦ πάντες ἠκολουθήσαμεν ὅπως χαίρῃς, ἀρνύμενοι (ἀντὶ τοῦ παρέχοντες) 〈τιμὴν〉 παρὰ τῶν Τρώων τῷ Μενελέῳ καὶ σοί.

1 158 » αὕτη δὲ ἡ σύνταξίς ἐστιν ὕποπτος, ἡ δὲ κρείττων ἐστὶν αὕτη· «ἀρνύμενοι (ἀντὶ τοῦ καταλλασσόμενοι) τιμωρίαν 〈Τρ〉 ωσὶ χάριν σοῦ καὶ τοῦ Μενελέω, οἱονεὶ ἐτιμώρησαν ἐκεῖνοι ἡμᾶς, τιμωροῦμεν ἡμεῖς ἐκείνους.» τὸ δὲ «ἀρνύμενοι» ἀντὶ τοῦ καταλλασσόμενοι ἐκ τοῦ παλαιοῦ ἐπεκράτησεν. [ἀρνύμενοι] 〈ἐκ τοῦ ἀρνὸς καὶ τοῦ ὑμήν, τὸ δέρμα〉 · καὶ γὰρ ποιούμενοι τὰ συναλλάγματα καὶ τὰς πραγματείας διὰ 〈δερμά〉 των ἀρνῶν ἐποιοῦντο, καθὰ καὶ μέχρι τοῦ νῦν τινὰ ἔθνη διὰ δερμάτων ποιοῦνται τὴν πραγματείαν.

1 160 [τῶν] τῶν Τρώων, ἢ ἡμῶν τῶν π〈ερὶ〉 σοῦ κινδυνευόντων. οὐδ᾽ ἀλεγίζεις] οὐδὲ λόγον 〈ἔχων〉 , ὡς ἐχθρῶν σου. [ἀλεγίζεις] Ἀττικῶς. ᾧ ἔπι πολλὰ] ἐφ᾽ ᾧ.

1 162 ἀναστροφὴ ὁ τρόπος—ᾧ ἔπι, ἐφ᾽ ᾧ. [ᾧ ἔπι] ἀναστροφὴ τὸ σχῆμα. ἔχω] ἀντὶ τοῦ ἔσχον, ἐναργοῦς δὲ ἀπαγ[γελίας] τὰ γεγονότα ὡς γιγνόμενα ἀπαγγέλλειν.

1 163 ὁππότε] Δωρικὸν τὸ π καὶ τὸ τ καὶ τὸ ς καὶ τὸ δ ἀναδιπλασιάζειν. ἶσον] 〈παρὰ τὸ〉 ἴσκω τὸ ὁμοιῶ, ὄνομα ῥηματικόν. τὸ δὲ ι κατὰ μὲν τὸν ποιητὴν μακρὸν 〈προφέρε〉 ται, κατὰ δὲ τοὺς πεζολόγους βραχὺ, κατὰ δὲ τοὺς ἰαμβογράφους ἐπαμφοτερίζει, ὡς τὸ «Ἆρες Ἄρες» (Il. V, 31, 453) καὶ τὰ ὁμοῖα. ἀτὰρ ἤν ποτε] ζητεῖται πότερον τὸ «ἀτάρ» κατ᾽ ἀποβολὴν τοῦ υ 〈ἐκ τοῦ αὐτάρ ἐκφέρεται, ἢ τὸ αὐτάρ ἐκ τοῦ ἀτάρ κατὰ πλεονασμὸν τοῦ υ .

1 166 καί φαμεν ὅτι εἰ ἦν τὸ ἀτάρ ἐκ τοῦ αὐτάρ κατ᾽ ἀποβολὴν τοῦ υ 〉 , ἐξέτεινεν 〈ἂν τὸ δίχρονον〉 , ὡς τὸ κ〈αίω〉 κάω, ναίω νάω. ἀλλ᾽ οὐδὲ πάλιν τὸ αὐτάρ κατὰ πλεονασμὸν Αἰολικὸν τοῦ υ ἐκ τοῦ ἀτάρ· ἐπὶ γὰρ τῶν καθαριευόντων τοῦτο ποιοῦσιν, Ἄρεος Ἄρευος, ἢ ἐχόντων τὸ ῥ. φαμὲν οὖν ποιητικὸν πλεονασμὸν εἶναι τοῦ υ ἐν τῷ αὐτάρ. ἐγὼ δ᾽ ὀλίγον 〈τε φίλον τε]〉 〈φίλον〉 διὰ τὸ ἐξ ἰδίων— πονεῖν.

1 168 ἐπὴν κεκάμω] ἀντίπτωσις· ὤφελε γὰρ εἰπεῖν· «ὑφ᾽ οὗ καμὼν καὶ ἱδρώσας πολεμήσω». νῦν εἶμι Φθίην] νῦν οὖν πορεύομαι πρὸς τὴν ἐμὴν πόλιν Φθίαν.

1 169 ὁ δὲ νοῦς ὑπερβατόν· νῦν εἶμι Φθίηνδε—πολὺν πλοῦτον σχεῖν. κορωνίσιν] ἐπικαμπεῖς—τὸ μέλαν.

1 170 οὐδέ ς᾽ ὀΐω] ἀντίπτωσις· «οὐδέ ς᾽ ὀΐω ἄφενος καὶ πλοῦτον ἀφύξειν καὶ συνάξειν ἐνθάδ᾽ ἄτιμος ἐών» ἀντὶ τοῦ «ἐμοῦ ἀτίμου ὄντος». ὑπερβατὸν δὲ .... «νῦν εἶμι Φθίην σὺν νηυσὶ κορωνίσι», εἶτα τὸ «οὐδέ ς᾽ ὀΐω». ἐνθάδε 〈ἄτιμος ἐών〉 ] ἐνταῦθα ἀτιμαζόμενος.

1 171

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνήλλακται δὲ ἡ πτῶσις· ἀντὶ γὰρ γενικῆς κέχρηται ὀνομαστικῇ, ὅ ἐστι σχῆμα. ἄφενος] κυρίως «ἄφενος» λέγεται ὁ ἀφ' ἑνὸς ἐνιαυτοῦ περιουσίαν ἔχων, πλούσιος δὲ ὁ 〈ἀπὸ〉 πολλῶν. ἄλλως· ὁ ποιητὴς οὐδετέρως χρῆται τῇ λέξει. τινὲς δὲ καὶ ἀρσενικῶς. γίνεται δὲ ἐκ τοῦ 〈ἕνος, ὅ〉 σημαίνει τὸν ἐνιαυτὸν, ἄφενος προπαροξυτόνως, ἀφενός δὲ ὀξυτόνως ὁ ἄνθρωπος ὁ πλήρης, ἐκ τοῦ ἑνός, 〈τοῦτο δὲ〉 ἐκ τοῦ ἕω τοῦ πληρῶ. φεῦγε μάλ' εἴ τοι] τὴν ὑποχώρησιν φυγὴν ὀνομάζει καταισχύνων Ἀχιλλέα.

1 173 [θυμὸς] τὸ θυμὸς σημαίνει θ'. [ἔγωγε] Ἀττικῶς. [εἵνεκ' ἐμεῖο] Ἀττικῶς.

1 175 μητίετα Ζεύς] ἀντὶ τοῦ μητιέτης ὅ ἐστι βουλευτικώτατος. Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτος τῶν ὀνομάτων—ἐπὶ τῆς εὐθείας εἰς α λήγει οὕτως. μητίετα] ἐκ τοῦ μήδω τοῦ βουλεύομαι μήσω, μῆσις καὶ τροπῇ τοῦ ς εἰς τ μῆτις. ἐχρῆν δὲ παροξύνεσθαι, εἴ γε τὰ εἰς της λήγοντα βαρύτονα βραχείᾳ παραληγόμενα ἀπρόσληπτα τοῦ ς ἐπὶ γενικῆς καὶ 〈ἐπὶ〉 κλητικῆς παροξύνονται· οἰκέτα 〈φυλέτα〉 εὐν〈έτα. παραλόγωσ〉 ἄρα ἡ εὐρύοπα, δέσποτα 〈καὶ〉 μητίετα· ἔστιν οὖν εἰπεῖν ὅτι ἀπὸ τοῦ μητίτα κατὰ πλεονασμὸν τοῦ ε , καὶ συστολῇ τοῦ ι ἀπὸ τῆς εὐθείας 〈μητίτησ〉 γέγονε μητίετα, καὶ ὁ τόνος ἐπὶ τοῦ αὐτοῦ τόπου ἔμεινε μετὰ 〈τὸν〉 πλεονασμόν. Διοτρεφέων] τῶν σὺν τῇ Διὸς γνώμῃ—βασιλῆες.

1 176 » [βασιλήων] Ἰὰς ἡ διάλεκτος. ἀεὶ γάρ τοι] τὰ πλεονεκτήματα—σιωπηλὸν δόλιον.

1 177 πόλεμοι] εἴρηται οἱονεὶ πολύαιμός τις ὤν. Μυρμιδόνεσσι] ζητεῖται πόθεν κέκληνται Μυρμίδονες.

1 180 ὁ Αἰακὸς τοῦ Διὸς ἦν υἱὸς καὶ ἐβασίλευεν 〈ἐν Αἰγίνῃ〉 . λέγεται οὖν ὅτι θεωρῶν τὴν αὑτοῦ χώραν ὀλιγανδροῦσαν ηὔξατο τῷ Διὶ, ὁ δὲ τοὺς μύρμηκας ἐποίησεν ἀνθρώπους, καὶ διὰ τοῦτο Μυρμίδονες κέκληνται. οὐδ' ὄθομαι] ἐπιστροφὴν ποιοῦμαι.

1 181 παρὰ τὸ ὄτοβος, ὃ σημαίνει τάραχον, ὅθεν καὶ τὸ ὠθῶ τὸ κινῶ. ὡς ἔμ' ἀφαιρεῖται] πιθανῶς τὸν θεόν φησιν ἀφαιρεῖσθαι τὸ γέρας, ἵνα μὴ ὕποπτος γένηται ὡς μισῶν αὐτοὺς, ἢ ἵνα μὴ χάριν ἔχωσι τῷ Ἀχιλλεῖ.

1 183 σὺν νηΐ τ' ἐμῇ] ἵνα μὴ δοκῇ ἄκων ἀπολύειν τὴν γυναῖκα. κλισίην] ἐκ τοῦ κλίνω κλισίη, 〈εἰσ〉 ἣν ὄντες ἐν ὁδῷ κατακλινόμεθα πρὸς κατάλυσιν. ἄντην] ἀπὸ τοῦ ἄντω.

1 187 τοῦτο παρὰ τὴν ἀντί πρόθεσιν. τὰ δὲ εἰς ν ἐπιρρήματα διὰ τοῦ η γράφονται· προχύδην, μίγδην. Πηλείωνι] πατρωνυμικὸν δευτέρου τρόπου.

1 188 τὰ δὲ εἰς ων πατρονυμικὰ φυλάττουσι τὸ ω καὶ ἐπὶ γενικῆς. στήθεσσιν λασίοισι] λάσιον τὸ θερμόν· ἡ θερμὴ γὰρ αἰτία τῆς τῶν τριχῶν ἐκφύσεως.

1 189 ἐμφαίνει 〈δὲ〉 τὸ θυμικόν. ἄλλως· στήθεσσιν λασίοισι] ἐν τοῖς δασέσι καὶ συνετοῖς. νῦν δὲ περὶ τοῦ θυμοειδοῦς μέρους—καὶ μανικὸν τῆς ψυχῆς. Gen. ajoute καὶ τοῦ σώματος. λασίοισι] ἐκ τοῦ λα —νοήματος. διάνδιχα] ὁτὲ μὲν ὀργιζόμενος, ὁτὲ δὲ ἐπιλ〈ογιζόμενοσ〉 , ὑφ' οὗ ἂν ἐνικᾶτο ὡς νέος, εἰ μὴ ἐχρήσατο τῇ τελείᾳ φρονήσει. [ἕως ὃ ταῦτα·] κοινὴ συλλαβὴ τὸ ὅ.

1 197 [κομῆς] τῆς 〈τρι〉χώσεως. εἴρητο παρὰ τὸ κόσμον 〈εἶναι τὰς τρίχασ〉 τοῦ σώματος. [οἴῳ φαινομένη] μόνῳ αὐτῷ φαινομένη· μ〈όνοσ〉 γὰρ αὐτὸς τὸν οἰκεῖον δαίμονα καὶ τὴν ἐν αὐτῷ φρόνησιν ἑ〈ώρ〉α.

1 200 Παλλάδ' Ἀθηναίην] τὴν δὲ Ἀθηνᾶν Παλλάδα ἐπιθετικῶς φησιν ἀπὸ τοῦ πάλλειν καὶ κραδαίνειν—προσκομίσαι τῷ Διί. [καί μιν φωνήσας] προσωποποιΐα.

1 214 ὁ στίχος ὑπόρρυθμος. γνωμικῶς.

1 221 [Ἀθηναίην] Ἀττικῶς. τὸ σχῆμα προκατά〈στασισ〉 .

1 225 τὸ σχῆμα βαρύτης. λείπει τὸ μέ.

1 234

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ναὶ μὰ τόδε σκῆπτρον] ναὶ μὰ τοῦτο τὸ σκῆπτρον. πεπλεόνακε τῷ μά—τῆς βασιλείας θεόν. τὸ σχῆμα τραχύτης.

1 242 [ἀνδροφόνοιο] εἴωθε γὰρ τηρεῖν τὰ ἐπίθετα εὐστόχως. [ἡδυεπὴς ἀνόρουσε] οὐδὲ γὰρ γέροντα κυβερνήτην μέμψαιτο ἄν τις, κινδυνεύοντος 〈τοῦ〉 σκάφους ὑπὲρ τὸ δέον, κινούμενον.

1 253 [σφιν] τόν τε Ἀγαμέμνονα 〈λέγει〉 καὶ τὸν Ἀχιλλέα. ** περὶ μὲν] περισσῶς.

1 258 λείπει ὑπερέχοντες. ** [περὶ δ’ ἐστὲ μάχεσθαι] περισσῶς. λείπει ὑπερέχοντες ἐν ταῖς μάχαις. ** [ἀθέριζον] ἐκ μεταφορᾶς 〈τῶν ἀθέρων ἐπὶ〉 τῶν ἀνδρῶν τῶν δευτέρων, ὡς μηδὲν συντελούντων.

1 262 [ἴδον] Ἰωνικῶς. ** [πείθεσθαι ἄμεινον] τοῖς καλῶς λέγουσιν.

1 284 [πέλεται] πέλω σημαίνει τὸ ὑπάρχω, τὸ προσεγγίζω καὶ τὸ ἀναστρέφομαι. [μιν] Δωρικῶς.

1 302 [εἰ δ’, ἄγε μὴν, πείρησαι] κατὰ παρολκήν. [πείρησαι] τὸ σχῆμα κατὰ περίληψιν. [προέρυσσεν] ἡ πρό περισσὴ.

1 310 [καλλιπάρῃον] Ἰωνικῶς. ἀπόθεσις.

1 332 [μιν] Δωρικῶς. [ὃ] Ἀττικῶς δὲ οὗτος.

1 334 χαίρετε κήρυκες] Ἑρμῆς μιγεὶς Πανδρόσῳ—Πτολεμαῖος. [ἀπηνέος] ἀπὸ τοῦ αἰνός.

1 355 [ἦ γάρ με Ἀτρείδης] τὸ σχῆμα ἐπαγωγὴ καὶ βεβαίωσις. ὁ δὲ νοῦς βαρύτης. ** διὰ τί ὁ Ἀχιλλεὺς ἀνδρεῖος ὢν ἔκλαυσε διὰ γύναιον αἰχμάλωτον; ἀπὸ θυμοῦ ἀγαθότητος ἐποίησε τοῦτο· ἔστι γὰρ παροιμία ἣ λέγει· «ἀγαθοὶ δ’ ἀριδάκρυες ἄνδρες,» ἤτοι· «οἱ ἀγαθοὶ ἄνδρες οὐκ ἀδάκρυες.

1 357 » [ἠπείλησεν] ἀπὸ ἐλέους.

1 388bis [ὃ] ἡ ὅστις Αἰολικῶς. ** [ἑλίκωπες Ἀχαιοί] ἑλίκωπας Ἀχαιοὺς λέγει τοὺς τὰς κώπας ἑλίσσοντας, οὐχὶ τοὺς μελανοφθάλμους, ὡς τὸ «ἑλικώπιδα κούρην» (Il.

1 389 I, 98): εἰ γὰρ οὕτως ἔλεγεν, 〈ἔλεγεν〉 ἂν τοὺς Ἕλληνας γυναικομόρφους, ὡς ἔπος εἰπεῖν, καὶ ἀνάνδρους, ἀλλά φησι τούτους δεξιοὺς κυβερνήτας καὶ ναυτικούς· εἴρητο 〈οὖν〉 παρὰ τὸ ἑλίσσειν τὰς κώπας. [κούρην Βρισῆος] ἔοικε πατρωνυμικῶς—Ἱπποδάμεια. [5]

1 396 [μεγάροισι] μέγαρον λέγεται τὸ μέγα ὀσπήτιον, παρὰ τὸ μεγαίρεσθαι καὶ φθονεῖσθαι παρὰ τῶν ἀνθρώπων. ὃν Βριαρέων—Αἰγαίωνα] τῶν διωνύμων —Σκάμανδρον.

1 404 [Αἰγαίωνα] ἀπὸ Αἰγαίου πελάγους. ** [ἐπαύρωνται] ἤγουν ἀπολαύσωσι τῶν τοῦ βασιλέως κακῶν.

1 420 [Ὄλυμπον ἀγάννιφον] τὸν λίαν νιφόμενον 〈κατὰ〉 τὰ ὑπὸ τοῖς νέφεσι μέρη· τὰ γὰρ ἄκρα—οὐδὲ ὅλως. [ῥηγμῖνι] ῥηγμίν ὁ αἰγιαλός, ἀπὸ τοῦ ῥήσσω, τὸ ῥηγνύω· ἐν αὐτῷ γὰρ ῥηγνύονται τὰ κύματα τῆς θαλάσσης.

1 451 [Χρύσην] πόλιν. [Τενέδοιο] πόλεως.

1 459 [αὐέρυσαν μὲν πρῶτα] ἀνέκλασαν μὲν τὸν τράχηλον πρῶτον. [μηρούς] τὰ μηριαῖα ὀστᾶ.

1 461 ἐπ’ αὐτῶν] ἀπ’ αὐτῶν δὲ ὠμῶν τῶν ἱερείων—καρποῦσθαι. [αἴθοπα οἶνον] μέλανα καὶ ἔνθερμον οἶνον.

1 477 [ῥοδοδάκτυλος] ῥοδόχρους, διαυγής· πυρώδης γὰρ ὁ ἀὴρ —τὸ τῶν ἀκτίνων σχῆμα. ἦ καὶ κυανέοισι] δηλοῖ δὲ πλείονα—τοῦ ἀληθοῦς λαμβάνεται.

1 572 [λευκωλένῳ Ἥρῃ] ἄμεινον· «τετιημένῃ ἦτορ». [στυφελίξαι] λείπει δύναται.

1 589 ἀργαλέος] χαλεπὸς γάρ ἐστιν ὁ Ζεὺς τῷ βουλομένῳ αὐτῷ ἀντιφέρεσθαι, ὅ ἐστιν ἐναντιοῦσθαι, ἐξισοῦσθαι καὶ φιλονεικεῖν. ἀπὸ βηλοῦ θεσπεσίοιο] ἀπὸ τοῦ οὐρανοῦ· ἀπὸ γὰρ τοῦ οὐρανοῦ ἐρρίφθη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 591 γίγνεται δὲ ἀπὸ τοῦ βεβηκέναι τοὺς θεοὺς—διοδεύεσθαι. ** [περικλυτὸς] περισσῶς ἔνδοξος τὴν τέχνην.

1 607bis ** [Ἀμφιγυήεις] ἀμφοτέραις ταῖς ἰγνύαις χωλεύων. ** [παρὰ δὲ χρυσόθρονος Ἥρη] ἤτοι σὺν αὐτῷ καὶ ἡ λαμπροτάτη Ἥρη.

2 6 οὖλον Ὄνειρον] λέγει τὸν ὀλέθριον. δηλοῖ δὲ καὶ τὸν προσηνῆ καὶ τὸν ὁλόκληρον—ὄλβια δοῖεν». καρηκομόωντας] τοὺς τὰς κεφαλὰς κομῶντας ἀνδρείας χάριν· καὶ γὰρ τῶν Ἑλλήνων τὸ παλαιὸν—ἀναθεῖναι τῷ Ἀπόλλωνι.

2 11 Gen. ajoute: ἀπὸ δὲ τοῦ κομῶντας ἐν διαιρέσει κομόωντας. [οὐ γὰρ ἔτ᾽ ἀμφὶς—φράζονται] διχογνωμοῦσι περὶ τῆς Ἰλίου—τὰ ὑπὲρ Ἑλλήνων.

2 36 προαναφώνησις. [ἐπανέστησαν] ἡ ἐπὶ περισσὴ, ἢ ἐπὶ τῷ λόγῳ. [ποιμένι λαῶν] ἀπὸ ἐμψύχου εἰς ἔμψυχον.

2 107 σημείωσαι· αὐτὰρ ὁ αὖτε Θυέστα] Ἀτρεὺς βασιλεύων τῆς Πελοποννήσου—ποιήσας ἀποδίδωσιν. [νήσοισι] νῆσός ἐστι γῆ περιεστοιχισμένη ὑπὸ θαλάσσης πανταχόθεν, ἔχουσα ἐν ἑαυτῇ πολλὰς πόλεις ἢ καὶ ὀλίγας.

2 108 ἴσως δὲ εἴρηται ἀπὸ τῆς νήσσης, ἥτις ἐστὶ 〈καὶ αὐτὴ〉 νηχομένη διὰ παντὸς ἐν τοῖς κύμασι τῶν ὑδάτων. [παυροτέροισι] παυρότεροι, ὀλιγώτεροι· οἱ μὲν γὰρ Τρῶες χωρὶς—ἄλλοι δὲ ιδʹ.

2 124 ** [ὅρκια πιστὰ ταμόντες] ἤγουν ὅρκους πιστοὺς διὰ θυσιῶν ποιησάμενοι θελήσομεν ἀριθμεῖν. [ἐπίκουροι] οἱ ἀπὸ ξένης χώρας.

2 167 [κατ᾽ Οὐλύμποιο καρήνων] τοῦ ἐγκεφάλου. [αἰγιαλῷ μεγάλῳ βρέμεται] συμφυῶς—ταῖς ὀνοματοποιΐαις· δι᾽ αὐτῶν γὰρ ἡ φράσις τῶν νοουμένων συντραχύνεται.

2 210 καλῶς δὲ καὶ τὸ «μεγάλῳ», ἐμφῆναι θέλων τὴν τῶν κυμάτων παράτασιν. [οὐ κατὰ κόσμον] ζητεῖται διὰ ποίαν αἰτίαν ὁ Θερσίτης— ὑψώσεως χάριν.

2 214bis οὐ κατὰ κόσμον] οὐ κατὰ τὸ πρέπον, εὐτάκτως, τοῦτ᾽ ἔστιν οὐ δικαίως, ἐφιλονεικεῖ τοῖς βασιλεῦσιν, ἀλλ᾽ ὅπερ ἂν ἐνόμιζεν ὁ Θερσίτης ἀναγκαῖον εἶναι, τοῦτο γέλωτος πολλοῦ ἄξιον ἐφαίνετο τοῖς Ἕλλησιν. ἀνὰ στόμ᾽ ἔχων] διὰ τοῦ στόματος ἔχων, λοιδορῶν.

2 250 διὸ οὐκ ἐχρῆν σε ἀεὶ τοὺς βασιλέας ἐπὶ στόματος ἔχειν καὶ λοιδορεῖν. διὰ τὸ εἰς πόλεμον ἀπελθεῖν καὶ εἰς ξένην χώραν.

2 265 διὰ ποίαν αἰτίαν «εἴ κ᾽ ἔτι ς᾽ ἀφραίνοντα κιχήσομαι» εἰπὼν (v. 258) καὶ τὰ ἑξῆς, εὐθὺς λέγει· «σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω πλῆξεν»; λέγομεν δὲ ἡμεῖς· εἶπε τηνικαῦτα τὸ ἀποδύειν καὶ οὕτως τύπτειν γυμνὸν, νῦν δὲ τοῦτον ἁπλῶς ἔπληξεν. [ἦ δὴ μυρί᾽ Ὀδυσσεὺς ἐσθλὰ ἔοργε] τοῦτο πρέποι 〈ἂν〉 εἰς ἀνδρὸς φρονίμου ἐγκώμιον.

2 278-279 σημείωσαι· ὣς φάσαν—παρὰ] τὸ ἑξῆς λέγει ὅτι ἀνέστη ὁ τὰς πόλεις πορθῶν, ὁ πολεμικῶς διακείμενος Ὀδυσσεὺς— τῆς Ἰλίου πόρθησιν, ὡς ὀψέ ποτε τὴν τοῦ δουρείου ἵππου κατασκευὴν ἐπινοήσαντος τοῦ Ὀδυσσέως, οὗ εἰσαχθέντος—ἄνακτος». ** εὐρύφωνον ἐντεῦθεν ἐμφαίνει τὸν Ὀδυσσέα, καὶ διὰ τοῦτο πρὸ Νέστορος ἐδημηγόρει ὅτι γεγωνότερον ἔδει βοᾶν διὰ τὴν σύγχυσιν τοῦ στρατοῦ.

2 285 μερόπεσσι βροτοῖσιν] ἀνθρώποις τοῖς μεμερισμένην καὶ ἔναρθρον ἔχουσι τὴν φωνὴν, ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζῴων. [μάρτυροι] ἡ εὐθεῖα ὁ μάρτυρος.

2 303 χθιζά τε] χθὲς καὶ πρώην. κατεσμίκρυνε—τοὺς Ἕλληνας. [Αὐλίδα] τόπος Βοιωτίας.

2 309 σμερδαλέος] ἀπὸ τοῦ μερίζειν τὴν ψυχὴν τῶν ὁρώντων τῷ φόβῳ καὶ μὴ ἐᾶν αὐτὴν ἐν ταὐτῷ μένειν. ἀπὸ τοῦ μερίζω μερδαλέος καὶ σμερδαλέος. [πρὸς] ἡ «πρός» ἀντὶ τῆς εἰς.

2 336

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖσι δὲ καὶ μετέειπε] Ἡρακλῆς ἐπιστρατεύσας—Γερήνιος ὠνομάσθη. ἱππότα] ἀντὶ τοῦ ἱππικός—κέχρηται.

2 337 ** ἡ δημηγορία τοῦ Νέστορος ποικιλωτέρα τῆς τοῦ Ὀδυσσέως ἐστὶ καὶ ἁπαλωτέρα· πῇ μὲν γὰρ ἀποτείνει εἰς τὸν βασιλέα, πῇ δὲ στρέφεται πρὸς τὸν λαὸν, καὶ πῇ μὲν ὀνειδίζει τοῖς Ἕλλησι, πῇ δὲ ὑπεραπολογεῖται αὐτῶν. πῇ δὴ συνθεσίαι τε] ποῦ δὴ καὶ αἱ συνθεσίαι; τῶν ἐκ τῆς Ἑλλάδος—ἡ ἱστορία παρὰ Στησιχόρῳ.

2 350 [Κρονίωνα] Κρόνου παῖδα, Δία· εἰσὶ γὰρ ἕτεροι· ἄρρενες μὲν Ποσειδῶν, Ἅιδης, θήλειαι δὲ Ἑστία, Δημήτηρ, Ἥρα. [γνώσεαι] ἐπιγνώσῃ, φησὶν, πότερον θεία γνώμη ἡ ἐναντιουμένη σοι πρὸς τὸ ἑλεῖν τὴν Ἴλιον, ἢ ἡ τῶν ἀνδρῶν δειλία καὶ ἀπόνοια τῶν πολεμικῶν ἔργων.

2 371 [αἲ γὰρ] ἔστι 〈τὸ〉 «γάρ» ἐπίρρημα εὐκτικόν. χερσὶν ὑφ’ ἡμετέροισιν] διὰ τί τοῦ Ὀδυσσέως—νίκης γὰρ φῶς βεβαιότερον.

2 381 [δεῖπνον] τὸ πρωϊνὸν, μεθ’ ὃ δεῖ πονεῖν, ὅ ἐστιν ἐργάζεσθαι —τοῦ πολέμου καὶ ἡσυχάζειν. [Ἄρηϊ] σημείωσαι· τετραχῶς τούτῳ τῷ ὀνόματι— ὀϊζυροῖσι βροτοῖσιν».

2 395 λείπει τὸ ἰάχει, βοᾷ. ** λείπει ἐβόησεν. βοὴν ἀγαθὸς] ὁ ἐν τῷ πολέμῳ γενναῖος· ἡ γὰρ δειλία—τὴν φωνήν.

2 461 Ἀσίῳ] ἐν τῷ τῆς Ἀσίας συμφύτῳ τόπῳ, ἐν τῷ ἰλυώδει τόπῳ· ἆσις γὰρ κατὰ διάλεκτον ἡ ἰλύς. ἄλλοι δὲ «Ἀσίου» ὀνομαστικῶς, ἀπὸ Ἀσίου τοῦ Λυδοῦ. [λειμὼν] ὁ σύμφυτος καὶ ὑγρὸς τόπος.

2 465 σημείωσαι· Σκαμάνδριον] ὁ Σκάμανδρος ποταμός ἐστιν, 〈ὃσ〉 καταφερόμενος ἀπὸ τῆς Ἴδης μέσον τέμνει τὸ ὑπὸ τῇ Ἰλίῳ ὑποκείμενον πεδίον καὶ ἐπὶ τὰ ἀριστερὰ ἐκδίδει εἰς θάλασσαν, ὃς καλεῖται καὶ Ξάνθος. ** στέρνον δὲ Ποσειδάωνι] τῷ θυμῷ τῷ εὐλόγῳ.

2 493 ** [αὖ] ἀντὶ τοῦ γὰρ. .

2 505 ... παῖδες ἐκδικοῦντες—αἱ Θῆβαι ἐξεπεπολιώρκηντο. Ὀγχηστόν] τόπος Βοιωτίας ἱερὸς Ποσειδῶνος.

2 506 εἴρηται ἀπὸ Ὀγχήστου Βοιωτοῦ. ἄλσος] πᾶς τόπος—καλεῖται. Ἄρνην] πόλις Βοιωτίας ἀπὸ Ἄρνης—«πολυστάφυλον Τάρνην».

2 508 Νῖσαν] Νῖσα Βοιωτίας—ἐπιφανὲς ἱερόν. Ἀνθηδόνα] Ἀνθηδὼν δὲ πόλις Βοιωτίας. ἐκ ταύτης ἦν Γλαῦκος ὁ θαλάσσιος. «ἐσχατόωσαν» δὲ τὴν ἐν τοῖς ἐσχάτοις μέρεσι τῆς Βοιωτίας κειμένην. Ὀρχόμενον Μινύειον] τὸν ἐν Βοιωτίᾳ λέγει—καὶ ἕτερος τῆς Θεσσαλίας.

2 514 παρθένος] ἢ ἔτι παρθένος νομιζομένη τοῖς γονεῦσιν. ὑπερώϊον 〈εἰσαναβᾶσα〉 ] εἰς τὸ δίστεγον ἀνελθοῦσα— αὐτὰς εἶναι. αὐτὰρ Φωκήων] διχῶς δὲ γράφεται «Φωκήων» καὶ «Φωκείων»· τοὺς γὰρ Φωκεῖς οἱ μὲν ἀπὸ Φώκου—Προνόης τῆς Ἀσωποῦ.

2 519 Κυπάρισσον] πόλις Φωκίδος. ὠνομάσθη δὲ ἀπὸ Κυπαρίσσου —κυπαρίσσων. [Πυθῶνα] Πυθὼν καὶ αὐτὴ πόλις Φωκίδος—περὶ ὧν ἐθέλουσιν. Κρῖσάν τε] πεδίον ἐν Λοκρίδι—Δηϊονέως.

2 520 [Δαυλίδα] Δαυλὶς πόλις Φωκίδος—ἔλεγον οἱ ἀρχαῖοι. Πανοπῆα] πόλις Φωκίδος—τοῦ Φώκου. [Ἀνεμώρειαν] αὕτη μεταξὺ—σφοδρῶς.

2 521bis ** [Ἀνεμώρειαν] διὰ τὸ καταπνεῖσθαι αὐτὴν σφοδρῶς. Ὑάμπολιν] οἵτινες ᾤκουν τὴν ὑπὸ Ὑάντων ἔθνους βαρβάρων οἰκισθεῖσαν πόλιν. οἵ τ’ ἄρα πὰρ ποταμόν] οὗτοι Ἐπικηφίσιοι—καλλίρροον ὕδωρ».

2 527 Λοκρῶν δ’ ἡγεμόνευεν Ὀϊλῆος] Λοκρῶν νῦν μέμνηται— τῆς Ἰταλίας κατοικεῖν. μείων οὔτι—ἀλλὰ πολὺ μείων—ἐγχείη δὲ] ἀθετοῦνται οἱ τρεῖς οὗτοι στίχοι—Πανέλληνας καὶ Ἀχαιούς.

2 528-529 » λινοθώρηξ] λινοῦν θώρακα ἔχων· οἱ γὰρ τοξόται λινοῦς θώρακας φοροῦσιν.

2 532

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βῆσσαν] οὕτως ὠνόμασται—λέγονται. Σκάρφην] οὕτως ὀνομάζεται ἀπὸ Σκάρφης τῆς Αἴσονος μητρός. Αὐγείας] ἀπὸ Αὐγείας—οἰκεῖται. [ἐρατεινὰς] «ἐρατεινὰς» δὲ ἐπεράστους, καλὰς καὶ ἐπιθυμίας ἀξίας. Τάρφην] οὕτως ὠνόμασται—τὰ συνεχῆ.

2 535 [Εὐβοίης] Εὔβοια—Ἀσώπου. μένεα πνείοντες] θυμοῦ καὶ δυνάμεως πνέοντες, τουτέστι γέμοντες, θαρραλέοι.

2 536 Ἄβαντες δὲ οἱ ἀπὸ Εὐβοίας—αὐτῶν. Εἰρέτριάν τε] εἴρηται δὲ ἀπὸ Ἐρετριέως τοῦ Φαέθοντος.

2 537 Ἱστίαιαν] αὕτη τὸ πρότερον—τῆς Ὑριέως. Δίου τ' αἰπὺ] τὸ ὑψηλὸν καὶ μέγιστον.

2 538 καλεῖται δὲ καὶ Δίων— —Πανδώρου. ὄζος Ἄρηος] ἀπόγονος Ἄρεος, πολεμικός.

2 541 Χαλκωδοντιάδης] Χαλκώδοντος παῖς Ἐλεφήνωρ—ἐλεφαίρεσθαι αὐτὸν καὶ βλάπτοντα τοὺς πολεμίους ὄπιθεν κομόωντες] τὰ ὀπίσω μέρη—βαθείας ἔχειν.

2 543 ὀρεκτῇσιν] τοῖς ἐκ χειρῶν δόρασιν—ἐκ χειρὸς πατάξαι. [Ἀθήνας] Ἀθήνας δὲ νῦν κέκληκε—καταταγῆναι.

2 547 Ἐρεχθέως] Ἐρεχθέως δὲ τοῦ βασιλέως τῶν Ἀθηναίων— ἱστορεῖ Καλλίμαχος. ζείδωρος 〈ἄρουρα〉 ] ἡ τὰ πρὸς ζωὴν δωρουμένη γῆ.

2 548 D. Gen. ajoute: ἄρουρα γὰρ ἡ γῆ, παρὰ τὸ ἀροτριᾶσθαι. κὰδ δ' ἐν Ἀθήνῃς εἷσεν] καθίδρυσε δὲ αὐτὸν Ἀθήνῃσιν ἐν τῷ ἰδίῳ αὑτῆς ἱερῷ 〈ἡ〉 θεὸς καὶ ἔδωκε φυλάττειν ταῖς Κέκροπος θυγατράσιν.

2 549 ἑῷ ἐν πίονι νηῷ] ἐν τῷ ἰδίῳ. «πίονι» δὲ ἀντὶ τοῦ πλουσίῳ καὶ εὐδαίμονι. [ἱλάονται] ἱλάσκονται, ἐξευμενίζονται, ἐξιλεοῦνται. [5]

2 551 κοῦροι Ἀθηναίων] ὡς οἱ Ἀθηναῖοι, περιφραστικῶς. περιτελλομένων] εἰς τὸ αὐτὸ κατὰ περίοδον περιερχομένων καὶ τελειουμένων. [Σαλαμῖνος] Σαλαμὶς νῆσος—ὁ Τελαμώνιος.

2 559 τειχιόεσσαν] τὴν καλῶς—τετειχίσθαι. Ἑρμιόνην Ἀσίνην τε] πόλεις—Περσεφόνης.

2 560 βαθὺν κατὰ κόλπον] τὰς βαθὺν—περιεχομένη. Ἐπίδαυρον] πόλις Ἄργους ἐν τοῖς παραθαλασσίοις μέρεσι κειμένη.

2 562 [Αἴγιναν] Αἴγινα νῆσος πρὸ τῆς Ἀττικῆς. ἐκαλεῖτο δὲ— μητρός. ἰσόθεος φὼς] ἰσόθεος ἀνήρ.

2 565 τὸ δὲ «φώς» ὀξυτονούμενον— ἕνδεκα δίφροι». [Ταλαϊονίδαο] Ταλαοῦ παιδὸς, Ἀδράστου.

2 569 [Μυκήνας] Μυκήνη πόλις Ἄργους, ἧς—Λακωνικῆς. Ἀραιθυρέην] αὕτη ὕστερον Φλιοῦς προσηγορεύθη.

2 573 Γονόεσσαν] Γονοῦσαν—Πελλήνης. Πελλήνην] διαφέρει—Πελοπόννησος.

2 575 [Αἰγιαλόν] Αἰγιαλὸς πόλις ἐν Μυκήναις καὶ ἑτέρα ἐν Παφλαγονίᾳ. [Αἰγιαλόν] οὕτως ἐκαλεῖτο ἡ παραθαλασσία—μέχρι Ἤλιδος. τῶν ἑκατὸν νηῶν] ἀντὶ τοῦ πάντων τῶν προειρημένων· καὶ γὰρ ἑκατὸν νεῶν ἡγεμὼν ἦν ὁ Ἀγαμέμνων.

2 581 κοίλην Λακεδαίμονα] τὴν ὑπὸ ὀρῶν—τὴν δὲ πόλιν Σπάρτην. Gen. ajoute ἕτεροι δὲ καὶ—καλοῦσιν. κητώεσσαν] μεγάλην—ζῴων. Gen. ajoute: τινὲς δὲ γράφουσι—ἐν Σπάρτῃ. [Μέστην] ἢ «Μέσσην». [5]

2 584 Ἕλος] πόλις—Εἵλωτες. Λάαν] πόλιν—μονοσυλλάβως Λᾶν.

2 585 ἠδ' Οἴτυλον] καὶ Οἴτυλον. ἔστι δὲ καὶ αὕτη πόλις Λακεδαιμονίας. [Πύλον] Πύλος ὁ ὑπὸ Νέστορι, ὅ ἐστι τῆς Μεσσηνίας— τὴν Ὠλενίαν πέτραν.

2 592 [Θρύον] πόλιν τῆς Ἤλιδος, ἣν ἕτεροι Θρυόεσσαν καλοῦσιν. Ἀλφειοῖο πόρον] καθ' Ὅμηρον ποσὶ διαβατός. ἔστιν ὁ Ἀλφεῖος τῆς Ἠλείας χώρας. Αἶπυ] βαρυτόνως λεκτέον· ὄνομα γάρ ἐστι πόλεως—ὑψηλόν· τῶν μέντοι εἰς υ ληγόντων οὐδετέρων τριγενῶν τὰ θήλεα εἰς α λήγει, τῇ ει

διφθόγγῳ παραληγόμενα, οἷον αἰπύ καὶ «αἰπεῖα κολώνη» (Il. XI, 711) ὀξύ, ὀξεῖα, ταχύ ταχεῖα. Θάμυριν] οὗτος παῖς ἦν—ἐστέρησαν. [5]

2 596 [Οἰχαλίηθεν] ἀπὸ τῆς Οἰχαλίας—Εὔρυτος. πηρὸν θέσαν] ἤτοι τῆς τέχνης ἔπαυσαν—βεβλαμμένος.

2 600 καὶ ἐκλέλαθον] καὶ ἐπιλαθέσθαι ἐποίησαν τῆς κιθαρῳδίας. ὁ δὲ σχηματισμὸς—ὁμοίως τῷ ὀρχηστύν. [Κυλλήνης] Κυλλήνη ὄρος—τὸν θεόν φασιν.

2 604 Αἰπύτιον παρὰ τύμβον] παρὰ τὸν τοῦ Αἰπύτου— Ἀρκὰς τὸ γένος. αὐτὰρ γάρ σφιν] τοῖς Ἀρκάσι, φησὶ, αὐτὸς ὁ βασιλεὺς Ἀγαμέμνων παρέσχε ναῦς, διὰ τὸ ἐν μεσογαίᾳ τῆς Πελοποννήσου αὐτοὺς οἰκοῦντας ἀπείρους εἶναι τῶν κατὰ θάλατταν ἔργων.

2 614 ἐπεὶ οὔ σφι θαλάσσια ἔργα] ἐπεὶ ἄπειροι ἦσαν τῶν κατὰ θάλατταν ἔργων καὶ οὐδαμῶς ἔμελεν αὐτοῖς περὶ αὐτῶν. ὅσσον ἐφ᾽ Ὑρμίνη] ἐφ᾽ ὅσον ἥ τε Ὑρμίνη—ἀκατάλληλος ὁ λόγος.

2 621 υἷες ὁ μὲν Κτεάτου] Ἄκτορος παῖδες—Εὐρύτου. Δουλιχίοιο] Δουλιχίου.

2 625 ἔστι δὲ νῆσος πρὸς τῆς Κεφαλληνίας. αἱ δὲ Ἐχινάδες νῆσοι—καλοῦνται Ἐπειοί. ὅς ποτε Δουλίχιον] ὃς εἰς τὸ Δουλίχιον—παρὰ Καλλιμάχῳ.

2 632 Νήριτον] ὄρος Ἰθάκης—ἡ κίνησις ἐνταῦθα. οἵ τ᾽ ἤπειρον ἔχον] καὶ γάρ τινων χωρῶν—Ὀδυσσεύς.

2 640 [Χαλκίδα] ἔξω τοῦ Εὐρίπου. [Καλυδῶνα] ἤτοι Ναύπακτος. οὐδ᾽ ἄρ᾽ ἔτ᾽ αὐτὸς ἔην] ἐτελεύτησε δὲ καὶ αὐτὸς— κατ᾽ ἐξοχήν.

2 649 ἑκατόμπολιν] διὰ τί ἐνταῦθα μὲν—ἐνενήκοντα εἶπεν αὐτὴν ἔχειν. αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα] ἱστόρηται ὅτι— φυγὰς τῆς πατρίδος.

2 670 καί σφιν θεσπέσιον πλοῦτον] καὶ αὐτοῖς πολὺν— Ἀθηνᾷ ἔθυσαν. Νιρεὺς αὖ Σύμηθεν] ἀπὸ δὲ Σύμης.

2 671 ἐνταῦθα δὲ τρὶς ὀνομάσας—εἵπετο λαός». Κράπαθόν τε Κάσον τε] νῆσοι περὶ τὴν Κῶ.

2 676 [Κράπαθον] λέγουσί τινες αὐτὴν Κάρπαθον. Εὐρυπύλοιο πόλιν] τὴν Κῶ λέγει, ἐπεὶ Εὐρύπυλος ἦν— τῆς Κῶ.

2 692 κὰδ δὲ Μύνητ᾽ ἔβαλεν] κατέβαλε δὲ τὸν Μύνητα, ὅ ἐστιν ἀπέκτεινεν. ὁ δὲ Μύνης τῆς Βρισηΐδος ἀνήρ. ἄλοχος] γαμετὴ γυνή.

2 700 καὶ ἔστι κατ᾽ ἐπίτασιν τὸ α ἐνταῦθα, οἱονεὶ πολύλοχός τις οὖσα. ἡμιτελής] ἤτοι ἄτεκνος—πρότερον ἐστράτευσεν.

2 701 Δάρδανος ἀνὴρ] οἱ μὲν τὸν Αἰνείαν—τῶν Δαρδανίων λέγειν. [Φέρας] ἀπὸ Φέρητος βασιλέως.

2 711bis ** [Φέρας] τὰς κοινῶς λεγομένας Σέρας. δῖα γυναικῶν] ἀντὶ τοῦ ὑπερθετικοῦ—σωφροσύνη.

2 714 D. Πελίαο] Πελίας—Ἰωλκοῦ.

2 715 Gen. ajoute: ἡ δὲ Ἰωλκὸς πόλις Θεσσαλίας. ἀλλ᾽ ὁ μὲν ἐν νήσῳ κεῖτο] ἱστόρηται ὅτι Φιλοκτήτης — τοὺς ὀφιοδήκτους.

2 724 τάχα δὲ μνήσεσθαι ἔμελλον] ταχέως δὲ οἱ Ἕλληνες— ὁ Φιλοκτήτης. μενεπτόλεμος] ὑπομονητικὸς ἐν τῷ πολέμῳ.

2 740 ὁ δὲ Πολυποίτης —ὑβρίσαι ἐπεχείρησαν. Αἰθίκεσσι] Αἴθικες ἔθνος—εἶπον Περαιβίας Gen.

2 744 ajoute: ἀντὶ τοῦ εἰς Αἴθικας αὐτὸν ἐδίωξεν. [Δωδώνην] Δωδώνη χωρίον ἐν Ὑπερβορέοις—Διός.

2 751 [Τιταρήσιον] Τιταρήσιος ποταμὸς Θεσσαλίας, ὃς ἀπὸ τῆς Στυγὸς ῥεῖν λέγεται, ἢ Ἠπείρου. [Πηνειὸν] Πηνειὸς ποταμὸς—ἐμβάλλει.

2 752

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προίει] προπέμπει, ἐκδίδωσιν. [ἀργυροδίνῃ] ἀργυροδίνης δὲ καλὰ καὶ λαμπρὰ ῥεύματα ἔχων· δῖναι γὰρ αἱ τὸν ὑδάτων συστροφαί. ὅρκου γὰρ—ἀπορρώξ] ἐκεῖ γὰρ—νομίζεται.

2 763 ἵπποι μὲν μέγ᾽ ἄρισται] ἐξόχως καὶ μεγάλως, ὡς Θεσσαλικαί. καὶ ὁ χρησμός φησιν· «ἵππος Θεσσαλική». σταφύλῃ ἐπὶ νῶτον ἐΐσας] οὕτως ἴσας—ἀπορθοῦσι τὰ ξύλα.

2 766 θρέψ᾽ ἀργυρότοξος Ἀπόλλων] τὰς Ἀδμήτου ἵππους, ἐπεὶ νόμιος —τοὺς Κύκλωπας. Φόβον Ἄρηος φορεούσας] ἐπισταμένας ὀτὲ μὲν φεύγειν, ὀτὲ δὲ διώκειν τοὺς πολεμίους.

2 774 δίσκοισιν] δίσκος ἐστὶ βαρὺς λίθος—προσαγορεύουσιν. αἰγανέῃσιν] ἀκοντίοις. ἤτοι παρὰ τὸ ἄγαν ἵεσθαι, ἢ παρὰ τὸ εὐθετεῖν αὐτὰς εἰς αἰγῶν ἄγραν. ὡσεί τε πυρὶ χθὼν πᾶσα] ὡσανεὶ ἐπὶ πᾶσαν τὴν γῆν νέμοιτο καὶ κατεσθίοι τὸ πῦρ· «χθὼν» γὰρ ἡ γῆ.

2 782 ἀμφὶ Τυφωέϊ] περὶ τῷ Τυφῶνι. Τυφὼν δὲ εἷς τῶν Γιγάντων, Γῆς ὢν καὶ Ταρτάρου, πολέμιος τοῖς θεοῖς, ὥς φησιν Ἡσίοδος, 〈ἐκεραυνώθη ὑπὸ Διόσ〉 [ψαμάθοισι] ψάμμοις.

2 800 «ἐοικότες» δὲ ὡμοιωμένοι τῷ πλήθει. ἐπίκουροι] οἱ τῶν Τρώων βοηθοὶ, τῶν πολεμουμένων, σύμμαχοι δὲ οἱ τῶν πολεμούντων.

2 804 πολυσπερέων] ἐπὶ πολλὰ μέρη τῆς γῆς διεσπαρμένων, πολυγενῶν ἢ πολυεθνῶν. περίδρομος] περιφερής, στρογγύλος, πανταχόθεν περιτρέχεσθαι δυνάμενος.

2 809 [πᾶσαι] «πᾶσαι» δὲ ἀντὶ τοῦ ὅλαι· μία γὰρ ἦν ἱππήλατος. Βατίειαν κικλήσκουσιν] πόλιν Τρωϊκὴν ἀπὸ τῶν περὶ αὐτῆς βάτων.

2 813 «κικλήσκουσι» δὲ ἀντὶ τοῦ καλοῦσιν. πολυσκάρθμοιο] πολυκινήτου—ἡ τῶν ποδῶν κίνησις.

2 814 Gen. ajoute: Μύρινα δὲ ὄνομα κύριον Ἀμαζόνος. κορυθαίολος] ὁ αἰόλλων—ἐν τοῖς πολέμοις.

2 824 [Ζέλειαν] Ζέλεια πόλις ἐν μεθορίοις τῆς Τροίας οὖσα ὑπὸ τῇ Ἴδῃ, πατρὶς Πανδάρου. ὑπαὶ πόδα νείατον Ἴδης] ὑπὸ τὰ ἔσχατα μέρη τῆς Ἴδης· πόδα γὰρ τὸ κατώτατον μέρος μεταφορικῶς, τουτέστιν ὃ καλοῦμεν ἡμεῖς ὑπώρειαν. ]Αἰσήποιο] Αἴσηπος ποταμὸς τῆς ὑπὸ τῇ Ἴδῃ Λυκίας.

2 826 Τρῶες] οἱ ἀπὸ Λυκίας τῆς ἐν Τροίᾳ· οὗτοι 〈γὰρ〉 Τρῶες ἐκαλοῦντο. τόξον] τὴν τοξικὴν ἐμπειρίαν· τὸ γὰρ τόξον ἑαυτῷ κατεσκεύασεν.

2 836 Σηστὸν καὶ Ἄβυδον] πόλεις περὶ τὸν Ἑλλήσποντον— τὴν Τρῳάδα πορθμός. αἶαν] γῆν ἤ, ὥς τινες εἶπον, κρήνην οὕτως λεγομένην, εἰς ἣν ἐκδίδωσιν ὁ Ἀξιὸς ποταμός.

2 853 Κύτωρον] χωρίον Παφλαγονίας. Παρθένιον] τοῦτον ἔνιοι—ἐν αὐτῷ ἐλούσατο.

2 857 ὅθεν ἀργύρου ἐστὶ γενέθλη] ὅπου κάλλιστος ἄργυρος γεννᾶται· γενέθλη γὰρ ἡ γέννα. ἀλλ᾽ οὐκ οἰωνοῖσιν] ἀλλ᾽ οὐκ ἐξέφυγε τὸν θάνατον διὰ τὴν οἰωνοσκοπίαν.

2 861 κεραΐζε] κατὰ κράτος ἠφάνιζε καὶ ἀνῄρει εἴρηται δὲ ἀπὸ τῶν τοῖς κέρασι μαχομένων ζῴων. Φόρκυς αὖ 〈Φρύγασ〉 ] ὁ ποιητὴς διαστέλλει Φρύγας καὶ Τρῶας, οἱ νεώτεροι δὲ συγχέουσι τὴν Φρυγίαν καὶ 〈τὴν〉 Τρῳάδα.

2 865 Γυγαίῃ] λίμνη Λυδίας, ὅπου καὶ Γυγαίης καὶ Ἀθηνᾶς ἱερόν. [Τμώλῳ] Τμῶλος ὄρος Λυδίας, ἀφ᾽ οὗ καταφέρεται ὁ Πακτωλὸς ποταμός.

2 867 βαρβαροφώνων] ἀγριοφώνων, ὅτι τὰ μὲν ἀρρενικὰ— ἀρρενικῶς. Φθειρῶν] ὄρος τῆς Καρίας—τοῦ Ἐνδυμίωνος Gen.

2 868 ajoute: ἢ ὅτι τὰ ἐξανθήματα—εἰσι φθειρσίν. [Μυκάλης] Μυκάλη ὄρος Πριήνης ἀντικρὺ Σάμου τῆς νήσου.

2 869 [Μαιάνδρου] ποταμὸς ἀρχόμενος—πλησίον Μιλήτου τηλόθεν ἐκ Λυκίης] τῆς πόρρω διεστηκυίας Λυκίας, τῆς κατὰ Σαρπηδόνα· ἔστι γὰρ καὶ ἐγγὺς Τροίας Λυκία, ἧς ἦρχε Πάνδαρος.

3 1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[αὐτὰρ] ζητεῖται πρῶτον πῶς δεῖ τὸν αὐτάρ σύνδεσμον— δάμαρ στέαρ οὖθαρ. [ἐπεὶ κόσμηθεν ἅμ’ ἡγεμόνεσσιν ἕκαστοι] ὑπὸ τῶν ἡγεμόνων ἢ σὺν τοῖς ἡγεμόσιν ὁ πόλεμος κατορθοῦται καὶ 〈αἱ〉 πόλεις ἐνδυναμοῦνται.

3 1bis εὐταξίᾳ δὲ μάλιστα τοῦτο. [ἕκαστοι] ἀντὶ τοῦ Ἕλληνες καὶ βάρβαροι δηλαδὴ, κατ’ ἔθνη 〈καὶ πόλεισ〉.

3 3 [ἠΰτε] ὃν τρόπον. τὸ σχῆμα παραβολή. [ἐπ’ Ὠκεανοῖο ῥοάων] ἀντὶ τοῦ ἐπὶ τὰς τοῦ Ὠκεανοῦ ῥοάς.

3 5bis ** [ἐπ’ Ὠκεανοῖο ῥοῶν] ἀντιπτωτικῶς· ἐπὶ τὰς ῥοὰς τοῦ Ὠκεανοῦ. ** ἐπαινεῖ ὧδε τὸ τῶν Ἀχαιῶν εὔνομον.

3 16 [Τρωσὶ] ἀντὶ τοῦ Τρώων. πτωτικὸν τὸ σχῆμα. [παρδαλέην] πόρδαλις ἄρσην, πάρδαλις δὲ θήλεια, παρδαλῆ τὸ δέρμα τῶν παρδάλεων, παρδαλὶς δὲ τὸ κυοφόρημα αὐτῶν.

3 17 τὸ δὲ παρδαλ..... κεκορυθμένα χαλκῷ] σιδήρῳ· ἀπὸ τοῦ ἀρχαίου μετάλλου· φασὶ γὰρ πρῶτον 〈τὸν〉 χαλκὸν εὑρεθῆναι.

3 24 [ἔλαφος] παρὰ τὸ ἑλεῖν τοὺς ὄφεις—φυσικῶς. ** ἐπὶ παντὸς ἂν λέγοιτο ὑπεξισταμένου διὰ φόβον τῷ κρείττονι.

3 32sqq ** ταῦτα ἐπὶ παντὸς δειλιῶντος ῥηθείη ἄν. παραβολή.

3 39 εἰρωνεία τὸ σχῆμα. [ἀπόβλητα] ἀποβολῆς ἄξια.

3 65 τὰ ὑπὸ θεῶν διδόμενα— οἰκείᾳ σπουδῇ. τιτυσκόμενοι] καταστοχαζόμενοι.

3 80 σημαίνει δὲ 〈καὶ〉 τὸ ἑτοιμάζομαι—φρεσὶν ᾖσιν.» στεῦται] διαβεβαιοῦται γὰρ καὶ ὑπισχνεῖται λόγον.

3 83 κορυθαίολος] ὁ αἰόλλων καὶ κινῶν τὴν περικεφαλαίαν, ἐξ οὗ πολεμικός. ἄνεω] ἥσυχοι, ἄνευ ἰωῆς, τουτέστι φωνῆς καὶ θορύβου.

3 85 Ἕκτωρ 〈δὲ μετ’〉 ἀμφοτέροισιν] ἐν ἀμφοτέροις, λέγω δὴ— —προθέσεως. [Αἴθρη Πιτθῆος] ἑτέρα τῆς Θησέως μητρὸς—αἰχμαλωτίζουσιν.

3 145 [Σκαιαὶ πύλαι] αἱ τῆς Ἰλίου. αὗται δὲ καὶ Δαρδανίαι προσαγορεύονται, δι’ ὧν ἐξῄεσαν εἰς τὸ πεδίον οἱ Τρῶες—ἐδέξαντο τὰς πύλας. ἐσθλοὶ τεττίγεσσιν ἐοικότες] Τιθωνοῦ τοῦ Λαομέδοντος — Ἑλλάνικος ἱστορεῖ.

3 166 ἐζήτηται πῶς ὁ Πρίαμος—ἐνόπλους ὡς νῦν. ἤδη καὶ Φρυγίην] πάλαι γὰρ εἰς τὴν Φρυγίαν παρεγενόμην, τὴν πολλὰς ἀμπέλους—σιτοφόρου οὔσης.

3 188 καὶ γὰρ 〈ἐγὼν〉 ἐπίκουρος] Μεναλίππη καὶ Ἱππολύτη— τὸν καιρόν. ἐπίκουρος] ἀπὸ ξένης χώρας.

3 189 Ἀμαζόνες 〈ἀντιάνειραι〉] αἱ ἴσαι κατὰ τὴν δύναμιν ἀνδράσιν, ἢ ἐναντιούμεναι ἀνδράσιν, ἐξ οὗ πολεμικαί. αἱ δὲ Ἀμαζόνες λέγονται εἶναι—τῷ τοξεύειν. ** [ἑλίκωπες Ἀχαιοί] ἑλίκωπας Ἀχαιοὺς λέγει τοὺς τὰς κώπας ἑλίσσοντας κ.

3 190 τ. λ. κτίλος] ὡς πρᾷος καὶ κακοήθης—τῆς ποίμνης.

3 196bis ** κτίλος] ὁ προηγούμενος καὶ προεξάρχων τῆς ποίμνης κριός. παρὰ τὸ κίω τὸ πορεύομαι, κίλος καὶ κτίλος. ἐτυμολογεῖται δὲ παρὰ τὸ κίειν 〈πρὸ〉 τῶν λοιπῶν, ἤγουν προπορεύεσθαι. οἱ δὲ νεώτεροι τάσσουσι τὴν λέξιν ἐπὶ τοῦ εἰθισμένου καὶ ἡμέρου ζῴου. [πηγεσιμάλλῳ] βαθυμάλλῳ, καλὸν ἔριον ἔχοντι, ἢ μελανομάλλῳ.

3 197 ἐκ τοῦ πηγόν, τὸ μέλαν. ἀργεννάων] λαμπρῶν—εἰσίν.

3 201 [ἐν δήμῳ Ἰθάκης] περιφραστικῶς ἐν τῇ Ἰθάκῃ. σεῦ ἕνεκα] σοῦ ἕνεκα, σοῦ χάριν· πρὸ γὰρ τοῦ στρατεῦσαι τοὺς Ἕλληνας—φιλοφρόνως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3 210 εὐρέας] πλατεῖς, μεγάλους. διὰ τούτου δηλοῖ—τὸν Μενέλαον. [ὕφαινον] τροπικὴ ἡ λέξις.

3 228 τανύπεπλος] περιτεταμένον ἔχουσα τὸν πέπλον. αἴσχεα δειδιότες] Ἑλένη ἁρπαγεῖσα ὑπὸ Ἀλεξάνδρου— λαφυραγωγοῦσι τὰς Ἀφίδνας.

3 243 ὣς φάτο] οὕτως εἶπεν. οὗτοι δὲ, φησὶν, ἦσαν μεταστάντες —ἶσα θεοῖσιν». φυσίζοος] ἤτοι ἡ τὰ πρὸς ζωὴν φύουσα—ἀναδοθῆναι. ἄλλως Ἴδας καὶ Λυγκεὺς—παρὰ Πινδάρῳ.

3 278 καὶ οἳ ὑπένερθε] οἱ καταχθόνιοι δαίμονες. λέγει δὲ Πλούτωνα καὶ Περσεφόνην καὶ τὰς Ἐριννῦς. [οἳ ὑπένερθε—τίνυσθον] οἵτινες τοὺς ἐν τῷ ζῆν παρορκήσαντας τιμωρεῖσθε.

3 313 [τὼ μὲν ἂρ ἄψορροι] διὰ τί χωρίζεται—ἄμεινον. χῶρον μὲν πρῶτον] [αὐτὰρ ἔπειτα κλήρους] σημείωσαι· λέγουσιν ὅτι καὶ κλῆρον ἐποιήσαντο—τὸν πολέμιον.

3 320 Ζεῦ πάτερ] ὦ Ζεῦ ὁ τῆς Ἴδης βασιλεύων· τιμᾶται γὰρ ἐν τῷ ἀκρωτηρίῳ—θυήεις». [κορυθαίολος] ποικίλος τὸν ὁπλισμόν. Πάριος] Ἴωνες οὕτως, ἡμεῖς δὲ Πάριδος.

3 325 Πάρις δὲ Ἀλέξανδρος ἐκλήθη—ἀνέθρεψεν ἀνελόμενος. ἵπποι ἀερσίποδες] αἴροντες τοὺς πόδας εἰς ὕψος, ταχεῖς— καὶ ἔστιν ἰδίωμα.

3 337 ἵππουριν] ἐξ ἱππείων τριχῶν τὸν λόφον ἔχουσαν. φιλότητα] φιλίαν, ξενίαν· ἀπελθόντα γὰρ ὡς πρέσβιν— καταφρονηθέντι.

3 362 κόρυθος] τὸ προμετωπίδιον—ἕνεκα κοσμήματος. [ὀλοώτερος ἄλλων] ἐνόμισαν γάρ τινες διὰ τούτου— τὸν Μενέλαον.

3 369 κόρυθος λάβεν] τῆς περικεφαλαίας. διὰ τί, φασὶν, ὁ Μενέλαος —τῷ ἐκείνου θανάτῳ. [ἶφι κταμένοιο] ἰσχυρῶς καὶ μετὰ βίας σφαγέντος.

3 406 θεῶν δ’ ἀπόειπε] ἀπάρνησαι δὲ καὶ ἐπιλαθοῦ δι’ αὐτὸν τὴν συναγωγὴν τῶν θεῶν. φιλομμειδὴς] ἡ φιλόγελως—τῶν αἰδοίων.

3 443 οὐδ’ ὅτε σε πρῶτον] Ἀλέξανδρος—διὰ τῶν ἑαυτοῦ λόγων. σημείωσαι· νήσῳ δ’ ἐν Κρανάῃ] παροξύνεται τοῦτο, ἵνα κύριον ὄνομα—βασιλέως τῆς Ἀττικῆς.

4 2 χρυσέῳ ἐν δαπέδῳ] πῶς τὸν οὐρανὸν—τὸ «χρυσέῳ ἐν δαπέδῳ». Gen. ajoute: καὶ «οὐρανὸν ἐς πολύχαλκον». (Il. V, 504. Od. III, 2.) πότνια Ἥβη 〈νέκταρ ἐῳνοχόει· τοὶ δὲ χρυσέοις δεπαέσσιν〉 ] ἐζήτηται δὲ δι’ ἣν αἰτίαν ὁ Γανυμήδης οἰνοχόος ὢν τοῦ Διὸς 〈οὐ πάρεστιν;〉 ἔνιοι μὲν οὖν φασιν ὅτι 〈τοῦ Διὸς μόνος ὢν διάκονος οὐκ ἐξῆν αὐτὸν κοινῶσ〉 πᾶσιν ὑπηρετεῖν.

4 2-3 〈ἔνιοι δέ φασιν ὅτι〉 σκέψεως περὶ τῆς Ἰλίου πορθήσεως γινομένης εὐοικονομήτως ἄπεστι τοῦ συνεδρίου, ἵνα μηδὲν ἐναντίον γένηται διὰ τὴν πρὸς αὐτὸν χάριν. Gen. ajoute: ἢ μόνῳ δείξει τι οἰκτίζεσθαι καὶ διὰ τί μόνῳ τῷ Διὶ—τοῦτο γὰρ ὁ Γανυμήδης. [5]

4 8 [Ἀλαλκομενηῒς] ἡ ἀλάλκουσα τῷ μένει—τραφεῖσα τῷ Βοιωτῷ. ** ὅτι ῥηθείη 〈ἂν〉 ἐπί τινος ἐν κενοῖς πόνοις στάντος· 〈«πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον ἠδ’ ἀτέλεστον»〉.

4 29 ** ὅτι ἐφ’ οἷς τις παραχωρεῖ, δυσαρεστούμενος μὲν, ἑκὼν δὲ ὑπεκδιδοὺς, καλῶς ἐρεῖς τὸ «ἔρδ’ ἀτὰρ» καὶ τὰ ἑξῆς. ** ὁ ἄγαν τινὶ μιμούμενος ἀκούσαι ἄν ποτε οἰκείως τὸ «Δαιμονίη» καὶ 〈τὰ〉 ἑξῆς.

4 43 ** δῶκα ἑκὼν] δοκεῖ δὲ—βουλόμενος λοιβῆς] σπονδῆς.

4 49 κυρίως δὲ τῆς ἀναφερομένης ἐκ τῶν θυμάτων ἀναθυμιάσεως. τὸ γὰρ λάχομεν γέρας] ταύτης γὰρ τιμῆς κατηξιώθημεν ὑπὸ τῶν ἀνθρώπων. ** ὁ μὴ δυνάμενος μὲν ἀντιστῆναί τινι δυνατῷ ἐμποδίζοντι, δυσωπῶν δὲ τυχεῖν ὧν θέλει, εὐκαίρως ἂν εἴποι· «οὔτοι ἐγὼ πρόσθεν» καὶ τὰ ἑξῆς.

4 59

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ἀγκυλομήτης] 〈ὁ〉 ἀγκύλα καὶ σκολιὰ βουλευόμενος, ἢ ὁ περὶ τῶν δυσευρέτων καὶ σκολιῶν δυνάμενος βουλεύσασθαι συνετῶς. ** [ὑποείξομεν ἀλλήλοισι] φιλικῆς ἐνδόξων προσώπων ἀντιπαραχωρήσεως τὸ «ἄλλ’ ἤτοι μὲν ταῦθ’ ὑποείξομεν».

4 63 [ἐπὶ δ’ ἕψονται θεοὶ ἄλλοι] ἐπακολουθήσουσι τῇ ἡμῶν γνώμῃ καὶ οἱ λοιποὶ θεοί. [ἐπιτεῖλαι] ἀντὶ τοῦ ἐπίτειλον, ὅ ἐστι πρόσταξον.

4 64 διὸ περισπωμένως δεῖ ἀναγινώσκειν· ἔστι γὰρ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. τὸ δὲ παροξυνόμενον ἐπιτείλαι εὐκτικοῦ ἐστι πρόσωπον τρίτον. ἀπ’ Αἰσήποιο] ἀπὸ τῶν τοῦ Αἰσώπου ῥευμάτων καὶ ῥείθρων· ὁ δὲ Αἴσωπος ποταμὸς τῆς ὑπὸ Ἴδῃ Λυκίας.

4 93 ἦ ῥά νύ μοι] ἔστι δὲ ἐπίρρημα διαπορητικόν. πίθοιο] πεισθείης. διὰ τί δὲ ἡ Ἀθηνᾶ εἰς σύγχυσιν—ἐπελέξατο τοξότην. ** ἐπὶ τοῦ πείθοντος ἄφρονα εἴς τι κακὸν οἰκεῖον εἰπεῖν τὸ «ὣς φάτο» καὶ 〈τὰ〉 ἑξῆς.

4 105 ἰξάλου] ἤτοι τελείας, ἢ πηδητικῆς καὶ ὁρμητικῆς, παρὰ τὸ ἱκνεῖσθαι, ἢ ὡς ὁ Πορφύριος λέγει—μόρια. ἐν προδοκῇσιν] τόποις πρὸς ἐνέδραν ἐπιτηδείοις πρὸς τὸ σκοπεῦσαι.

4 107 ἀπὸ τοῦ δοκεῖν. [κέρα] κέρατα· ἀποκοπὴ τὸ πάθος.

4 111 κορώνην] νῦν τὸ ἐπικαμπὲς—ἡ νευρά. [κατέθηκε] κατετίθει, κατέταττε, ἐνήρμοζε τὴν νευράν.

4 113 ἀγκλίνας] πρὸς τῇ γῇ—τῶν Ἑλλήνων. [λίγξε] πεποιημένη φωνή.

4 126 [μενεαίνων] προθυμούμενος. ὁ τρόπος μεταφορὰ ἀπὸ ἐμψύχων ἐπὶ ἀψύχων. οὐδὲ σέθεν, Μενέλαε] σοῦ δὲ, ὦ Μενέλαε, οἱ θεοὶ, οἱ μακαρισμοῦ ἄξιοι, οὐκ ἐπελάθοντο.

4 127 καλεῖται δὲ ὁ τρόπος ἀποστροφή. ἐπελάθοντο ἀγελείη] ἡ Ἀθηνᾶ, ἡ ἄγουσα λείαν—λαφυραγωγός.

4 129 πρόσθεν στᾶσα] προσταθεῖσα—ῥυσαμένη. ἡδέϊ λέξεται ὕπνῳ] ὁπόταν τῷ ἡδυτάτῳ ὕπνῳ κρατηθεὶς ἀποκοιμηθῇ.

4 132 ζωστῆρος 〈ὀχῆες〉 ] οἱ συνέχοντες καὶ σφίγγοντες τὸν ζωστῆρα ἵμαντες. 〈ἐξ〉 ὠτειλῆς] ἐκ τοῦ τραύματος.

4 140 ἀπὸ τοῦ οὐτάσθαι δὲ γίνεται, ὅ ἐστι τετρῶσθαι. διαφέρει δὲ—τραύματος. Κάειρα] Καρίνη, ἀπὸ Καρίας—χρωμένων.

4 144 [ἄγαλμα] καλλώπισμα πᾶν—τὸ ξόανον. ἠθοποιΐα.

4 157 ὡς ἔβαλον Τρῶες] ἀντὶ τοῦ «ὃν τρόπον οἱ Τρῶες ἔτρωσάν σε καταφρονήσαντες τῶν ὅρκων». ἄκρητοι] ἀτέλεστοι—γινόμεναι.

4 161 [ἀπέτισαν] ἀπέδωκαν. λείπει δὲ τὸ χόλῳ, ἵνα ᾖ σὺν μεγάλῳ χόλῳ. [ὑψίζυγος] ὁ ἐπὶ ὑψηλοῦ θρόνου καθιζόμενος, ὁ τὴν ἀνωτάτω ἔχων καθέδραν.

4 172 [μνήσονται] μνείαν ποιήσονται, ὅ ἐστι «σοῦ τελευτήσαντος εὐθὺς οἱ Ἕλληνες θελήσουσιν ἀπελθεῖν ἐπὶ τὰς πατρίδας». ** τὸ τοιοῦτον προσαρμόσαι ἂν παρῳδηθὲν παντὶ πολλὰ μὲν προθεμένῳ βλάψαι τινὰ, μηδὲν δὲ ἰσχύσαντι, τὸ «αἴθ’ οὕτως» καὶ 〈τὰ〉 ἑξῆς.

4 181 κεινῇσιν νηυσὶ] σὺν κεναῖς ναυσί. κεναῖς δὲ εἶπεν, διότι Μενέλαος—ἐν αὐταῖς. τότε—χθών] τότε γῆς χάσματι δεχθείην· οὐ γὰρ ἐπιθετικῶς λέγει αὐτὴν εὐρεῖαν, 〈ἀλλὰ〉 τὴν εὐρὺ τῇ διαστάσει χάσμα ποιοῦσαν.

4 185 οὐκ ἐν καιρίῳ] οὐκ ἐν τῷ πρὸς ἀναίρεσιν 〈ἐπικαίρῳ〉 τόπῳ τοῦ σώματος, ὅ ἐστιν οὐκ ἐπικινδύνως. μίτρη] χαλκῆ λεπίς—πλείονος ἀσφαλείας.

4 192 θεῖον] ἤτοι ἐκ θεῶν τὸ γένος ἔχοντα, ἢ θαυμαστόν. ἡ δὲ τῶν κηρύκων ἱστορία προείρηται ἐν τῇ Α. [Μαχάονα] Μαχάων, υἱὸς Ἀσκληπιοῦ—Ἡσίοδον Ξάνθης.

4 218

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤπια] τὸ ἑξῆς· ἐπέπασσεν αὐτῷ πρᾷα καὶ προσηνῆ φάρμακα παυστικὰ τῶν ὀδυνῶν. μνήσαντο δὲ χάρμης] μνήμην ἐποιοῦντο τοῦ πολέμου· χάρμη γὰρ ἡ μάχη—νικῶσιν.

4 245 οὐδ’ ἄρα τί σφι] οὐδεμίαν ἔννοιαν ἀλκῆς σωτηρίας ποιοῦνται. 〈ἀνὰ〉 οὐλαμὸν] κατὰ συνέλευσιν καὶ ἄθροισιν τῶν ἀνδρῶν.

4 257 περὶ μέν σε τίω] περισσῶς μέν σε τιμῶ, ὅ ἐστιν ὑπὲρ πάντας. ἀπὸ σκοπιῆς] ἀπὸ ὑψηλοῦ—καὶ ἰδεῖν.

4 282 πεφρικυῖαι] τῇ ἀναστάσει—πεπυκνωμέναι. κυάνεαι] μέλαιναι, κυανῷ χρώματι παραπλήσιοι, ἢ πυκναί.

4 286 ὀτρυνέμεν] παρορμᾶν. ὁ δὲ νοῦς· ἡμᾶς οὐ παρορμᾷ· οὐ γὰρ προσήκει. αἲ γὰρ Ζεῦ τε πάτερ] εἴθε γὰρ, ὦ Ζεῦ πάτερ.

4 288 ἔστι δὲ ἐπίρρημα εὐχῆς σημαντικόν. ἀμφὶ μέγαν Πελάγοντα] οὗτοι ταξίαρχοι ὑπῆρχον—Νέστωρ.

4 299 κακοὺς δ’ ἐς μέσσον ἔλασσεν] μεταξὺ δύο ἀνδρείων ἕνα κακὸν ἔβαλε. [ἵκηται] τοῦτο τὸ ῥῆμα—ἀμυνάσθω τοὺς πολεμίους.

4 307 ἐπεὶ πολὺ φέρτερον] κατὰ πολὺ κρεῖττον. πάλαι πολέμων εὖ εἰδώς] ἐκ πολλοῦ χρόνου ἀσκηθεὶς τὸ πολεμεῖν, τουτέστι πολλάκις πολεμήσας καὶ τούτου πεῖραν ἱκανὴν ἔχων.

4 321 ἔα] ἀντὶ τοῦ ἦν ἐγώ. ἔλαβεν δὲ 〈τὸν〉 ὑπερσυντελεστικὸν ἀντὶ τοῦ παρατατικοῦ. [τὸ γὰρ γέρας ἐστὶ γερόντων] αὕτη γάρ ἐστιν ἡ τῶν πρεσβυτῶν γνώμη καὶ τιμὴ τὸ καλῶς συμβουλεύειν.

4 328 [μήστωρες ἀϋτῆς] δυνάμενοι—ἐπιστήμονες μάχης. οὐ γάρ πώ σφιν] οὐδέπω γὰρ ἤκουον τῆς κατὰ τὸν πόλεμον κραυγῆς τουτέστιν ..... ὡς γνῶ χωομένοιο] ὡς ἐπέγνω αὐτὸν ὀργισθέντα.

4 357 πάλιν δ’ ὅγε λάζετο μῦθον] ἀντὶ τοῦ «εἰς ἐναντίον ἔτρεψε τὸν λόγον»· ψόγον γὰρ εἰπὼν νῦν ἔπαινον λέγει. οἱ δ’ ἐπεὶ] ὁ Τυδεὺς καὶ οἱ λοιποί.

4 384 ἀγγελίην ἐπὶ Τυδῇ] ἀντὶ τοῦ «τότε δὴ τὸν Τυδέα ἄγγελον, ὅ ἐστι πρεσβευτὴν, ἔπεμψαν οἱ Ἕλληνες». κεῖνοι δὲ] τὸ πάθος ἀφαίρεσις· «σφετέρῃσιν δὲ 〈ἀτασθαλίῃσιν〉,» ἰδίαις ἁμαρτίαις, ἀνοίαις, ἀπώλοντο.

4 419 ἦ ῥα] ἔφη δὴ, καὶ ἔστι 〈τὸ ῥά〉 ἀντὶ τοῦ ἄρα. ἐὰν δὲ ἓν μέρος λόγου ᾖ, δηλοῖ τὴν μετ’ ἐπικουρίας χάριν. βρέμει] ἠχεῖ—ἦχος.

4 430 ἔχοντ’ ἐν στήθεσιν] κατέχοντες ἐν αὑτοῖς τὴν φωνήν. ἐκ τούτου παρίστησιν αὐτῶν τὸ ἥσυχον. πολύκλητοι] οἱ ἐκ πολλῶν τόπων συγκεκλημένοι, ὅ ἐστι συναχθέντες.

4 439 ὦρσε] διήγειρε, παρώρμα εἰς τὸ πολεμεῖν. τὸ δὲ ἑξῆς οὕτως· ὦρσε δὲ τοὺς Τρῶας δηλονότι ὁ Ἄρης, τοὺς δὲ Ἕλληνας ἡ Ἀθηνᾶ. Δεῖμός τ’ ἠδὲ Φόβος] Ἄρεος 〈καὶ〉 Ἀφροδίτης— ἀλλ’ ἵπποι.

4 450 πέλεν] ἐγένετο, τῶν τε φονευόντων καὶ τῶν φονευομένων. ῥέε] ἀντὶ τοῦ ἐρρεῖτο.

4 451 ἔλαβε δὲ διάθεσιν ἐνεργητικήν. χείμαρροι] οἱ χειμῶνι ῥέοντες—ὄμβρων.

4 453 ἐς μισγάγκειαν] εἰς κοῖλον τόπον ἔνθα—τόπων. [φόβος] ἢ πόνος.

4 475 Ἴδηθεν] ἐκ τῆς Ἴδης. Ἴδη δὲ ὄρος ὑψηλότατον— πάντα καθορᾶν. [αἴγειρος] ὠνομάσθη δὲ ἀπὸ τῆς ἐγέρσεως αὐτῶν καὶ ἀναδόσεως.

4 483 εἱαμένῃ] αἴθωνι] λαμπρῷ, ὀξεῖ· ἐπὰν γὰρ ὁ σίδηρος ὀξυνθῇ, λαμπρότατος γίνεται.

4 486 ἴτυν] ἀψίδα. λέγει δὲ τὴν περιφέρειαν τοῦ τροχοῦ. «δίφρῳ» δὲ ἅρματι Jusqu’ à τροχοῦ νόθον] τὸν οὐ γνήσιον υἱὸν, ἀλλ’ ἐκ παλλακίδος ὄντα.

4 500

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀβυδόθεν] ὅστις αὐτῶν ἐκ τῆς Ἀβύδου παρεγεγόνει, πόλεως Ἑλλησπόντου. παρ’ ἵππων
ὠκειάων] ἐξ ἐκείνου—Πριάμου. φαίδιμος] ἐπιφανής, λαμπρὸς ἐν ταῖς πράξεσιν.
4 508 Περγάμου ἐκκατιδών] ἐκ τῆς ἀκροπόλεως—ἐν τοῖς κατακλυσμοῖς. λίθος χρὼς] τὸ σῶμα
ἀναίσθητος.
4 510 μεταφορά. πέσσει] καταδαπανᾷ—μεταφορά.
4 524 [θυμὸν ἀποπνείων] περιφραστικῶς 〈ἀποθνήσκων〉. ἑρμηνεία· ἄλλως· «ἄβλητος καὶ
ἀνούτατος», ὁ ἔτι μήτε ἀπὸ διαστήματος—ἡ τρῶσις.
5 1 [ἔνθα] τότε, χρονικὸν ἐπίρρημα, ἄλλως δὲ ἐνταῦθα, τοπικόν. [Παλλὰς] εὐκίνητος, πολεμική.
5 1bis παρὰ τὸ πάλλεσθαι ἤγουν κινεῖσθαι. [μετὰ] ἡ «μετά» ἀντὶ τῆς ἐν.
5 2 δῶκε μένος καὶ θάρσος] τὸ «μένος» ἐστὶ τοῦ σώματος— «θράσος» δὲ τοὐναντίον. ἀκάματον
πῦρ] Ζωΐλος ὁ Ἐφέσιος—ὡς καὶ ἐν ἑτέροις· «ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο» (Il.
5 4 XXVIII, 1), 〈ἵνα〉 ὡς πυρὸς φαντασίαν καὶ οὐκ εἰδικὸν πῦρ λέγῃ ὁ ποιητής, ὃ βέλτιον ἂν εἴη.
μεταχρονισμός.
5 5bis ἀστέρ’ ὀπωρινῷ] τῷ κατὰ τὸν καιρὸν—καιρός. ἰστέον ὅτι δὲ διαφέρει—καὶ νότιος λέγεται.
[ἐναλίγκιον] παραπλήσιον, ὅμοιον τῇ αὐγῇ. λελουμένος Ὠκεανοῖο] νεωστὶ ἀνατέλλων—
περιρρέων τὴν γῆν κύκλῳ πάντων τῶν ποταμῶν πατὴρ 〈ὤν〉.
5 7 σημείωσαι· τοῖόν οἱ πῦρ δαῖε] τοιοῦτον αὐτοῦ πῦρ ἀνῆπται. ἀπὸ δὲ τούτων, ὅ ἐστιν τῆς
περικεφαλαίας—πυρώδεις. Gen II. ajoute: φησὶ γάρ· «ἀστέρ’ ὀπωρινῷ ἐναλίγκιον». οὐδὲ γὰρ
οὐδέ κεν] οὐδὲ δὴ ἂν αὐτός.
5 22 ἡ μία περισσὴ ἀπόφασις —τοῦ προσώπου. [υἷε Δάρητος] ἀντὶ τοῦ τῶν υἱῶν Δάρητος· ἐπιφέρει
γὰρ «τὸν μὲν ἀλευάμενον».
5 30 [θοῦρον] εὐκίνητον τῷ πολέμῳ. τειχεσιπλῆτα] τοῖς τείχεσι προσπελάζων, πορθητικέ.
5 31 ἐὰν δὲ διὰ τοῦ β γράφεται, ὁ τὰ τείχη καταβάλλων. [Ἁλιζώνων] ἔθνους Θρᾳκῶν.
5 39 ἔνιοι δὲ εἶπον—οἰκούντων ἐθνῶν. [ψυχρὸν] ἄλλως· ἤτοι κυρίως διὰ τὸ ψυχρὸν καὶ ἄθερμον —
τοῖς ὀδοῦσιν ἔλαβεν.
5 90 ἀλωάων] χωρίων ἀμπελοφύτων ἢ δενδροφύτων. Gen II ajoute: σημαίνει δὲ καὶ—ἀρουρῶν.
[Λυκίηθεν] Λυκίας χώρας ἧς ἐβασίλευε—Πάνδαρος.
5 126 σακέσπαλος] πολεμικός. ἀπὸ τοῦ πάλλειν τὸ σάκος καὶ κινεῖν. εἴρηται δὲ σάκος, ἐπειδὴ παρὰ
τοῖς 〈Σάκαισ〉 πρώτοις εὑρέθη. Σάκαι δέ εἰσιν οἱ Θρᾷκες. σακέσπαλος ἱππότα Τυδεύς] Τυδεὺς
ὁ Οἰωνέως ἐν τῷ Θηβαικῷ πολέμῳ ὑπὸ Μελανίππου τοῦ Ἀστάκου ἐτρώθη. Ἀμφιάρεως δὲ
κτείνας τὸν Μελάνιππον τὴν κεφαλὴν ἐκόμισε 〈Τυδεῖ〉 καὶ ἀνοίξας αὐτὴν ὁ Τυδεὺς τὸν
ἐγκέφαλον ἐρρόφει ἀπὸ θυμοῦ. Ἀθηνᾶ δὲ κομίζουσα Τυδεῖ ἀθανασίαν, ἰδοῦσα τὸ μίασμα,
ἀπεστράφη αὐτόν. Τυδεὺς δὲ γνοὺς ἐδεήθη τῆς θεοῦ ἵνα κἂν τῷ παιδὶ αὐτοῦ παράσχῃ τὴν
ἀθανασίαν. ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς. [πειρώμενος] ἀπόπειραν ποιούμενος—μορφῇ. [10]
5 131 ἀτὰρ εἴ κε] ἐὰν δέ. μόνην δὲ—κῆρας ἀμύνει». καὶ ἄλλως ἠρέθισται ἀκούσασα .... τήν γ’
οὐτάμεν] διὰ τί κατὰ χειρὸς τιτρώσκεται Ἀφροδίτη; ὅτι χειρὶ λαβομένη παρῄνει τὴν Ἑλένην.
5 138 χραύσῃ] ἀμύξει ἐπ’ ὀλίγον τὸν χρῶτα ἐπιξυσάσα. τὰ δ’ ἐρῆμα] τὰ βοσκήματα ἠρημωμένα τῆς
τοῦ ποιμένος βοηθείας φεύγει.
5 140 τινὲς δὲ, ὅπερ ἐστὶ βέλτιον, ἐπὶ τοῦ ποιμένος τοῦτο νοοῦσιν—οὐδετέρως λέγει τὰ πρόβατα.
ἐξάλλεται] ἀντὶ τοῦ εἰσάλλεται εἰς τὴν βαθεῖαν ἔπαυλιν ἔνδον.
5 149 [ὀνειροπόλοιο] ὀνειροκρίτης, περὶ ὀνείρων κρίσιν ἀναστρεφόμενος. πόρτιος] δαμάλεως,
μόσχου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

5 162 προτάξας τὸ εἶδος τὸ γένος ἐπήγαγεν. ἀμφὶ δὲ πέπλοι] «πέπλοι» δὲ λεπτὰ ὑφάσματα ἢ σινδόνες.

5 194 ἔστι δὲ γυναικεῖον ἱμάτιον ὡς ἐκεῖ· «πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ’ οὔδει» (Il. V, 734 et VIII, 385) καὶ «πέπλον δ’ ὅστις τοι χαριέστατος ἠδὲ μέγιστος». (Il. VI, 271.) κρῖ λευκὸν ἐρεπτόμενοι] κυρίως μὲν ἐσθίοντες ἐκ τῆς ἔρας, ὅ ἐστι τῆς γῆς, ἀναιρόμενοι, νῦν καταχρηστικῶς ἁπλῶς ἐσθίοντες.

5 200 ἀρχεύειν Τρώεσσι] ἡγεῖσθαι τῶν Τρώων. [πασσάλου] πάσσαλος—ὅπερ δεῖ.

5 219 [πρίν γ’ ἐπὶ νὼ τῷδ’ ἀνδρὶ] πρὶν ἡμᾶς κατὰ τοῦδε τοῦ ἀνδρός. ἐπὶ Τυδεΐδῃ Διομήδεϊ] ἐὰν ἡμῖν ὁ Ζεὺς δό〈ξαν〉 παράσχῃ ἐπὶ τῷ τοῦ Τυδέως παιδὶ Διομήδῃ.

5 226 [σιγαλόεντα] λαμπρά, ποικίλα τῇ κατασκευῇ. πρὸς τοῦτον δὲ δὴ εἶπε τοῦ Λυκάονος ὁ λαμπρὸς υἱός.

5 245 [ἶν’ ἀπέλεθρον] δύναμιν ἀμέτρητον. «ἶνα» δὲ εἶπεν ἀπὸ τῆς εὐθείας 〈ἴς〉. μήστωρε φόβοιο] ἐπιστήμονας καὶ ἐμπείρους φυγῆς, ὅ ἐστι πολεμικούς, γενναίους, ἢ φυγῆς ἐμποιοῦντας τοῖς πολεμίοις.

5 277 καρτερόθυμε, δαΐφρον] δυναμικώτατε, ἀνδρειότατε. ταῦτα δέ φησιν ἐν εἰρωνείᾳ. [ἀλκὶ] εἴρηται ἀπὸ ὀρθῆς τῆς ἄλξ.

5 305 [ἰσχίον] εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστέον. πρὸς δ’ ἄμφω ῥῆξε τένοντε] πρὸς δὲ καὶ ἀμφότερα ἀπέρρηξε τὰ κατατεινόμενα νεῦρα.

5 314 ἀμφὶ δ’ ἑὸν φίλον υἱὸν] περιέθηκε δὲ τῷ αὑτῆς παιδὶ τοὺς λευκοὺς πήχεις, τουτέστι περιεπτύξατο καὶ ἠγκαλίσατο. [ὁ δὲ Κύπριν ἐπῴχετο] ἐπὶ τὴν Ἀφροδίτην ὥρμα· οὕτως γὰρ ἐβλήθη ἡ θεός.

5 334 ὀπάζων] νῦν κατόπιν διώκων· ἡ γὰρ λέξις αὕτη πλείονα σημαίνει—καθ’ ὅμιλον ὀπάζω». [ὅμιλον] ὅμιλος, πλῆθος, θόρυβος, ἀπὸ τῆς παρακολουθούσης ἐν ὄχλῳ ὁμιλίας. ὑπὲρ θέναρος] ὑπὲρ τὸ κοῖλον τῆς χειρός.

5 339 λέγει δὲ τὸ μεταξὺ τοῦ λιχανοῦ δακτύλου καὶ τοῦ μεγάλου σαρκῶδες καὶ κοῖλον τῆς χειρός. οὐ γὰρ σῖτον ἔδουσι] οὐ διὰ τὸ μὴ ἄρτον αὐτοὺς ἐσθίειν θεοὶ ὑπάρχουσιν, ἀλλὰ διὰ τὸ ἀθάνατοι εἶναι τῶν τοιούτων τροφῶν ἀπέχονται.

5 348 [δηϊοτῆτος] τῆς μάχης. παρὰ τὸ ἐν αὐτῇ πολλοὺς δηοῦσθαι, ὅ ἐστι κόπτεσθαι. πύθηαι] ἀκούσῃς, γνῷς.

5 351 ὁ δὲ λόγος· ἐὰν πάλιν ἔλθῃς εἰς πόλεμον, τηνικαῦτά σε κακῶς διάθωμαι, ὡς καὶ ἄλλοθί που πόλεμον ἀκούσασαν εὐλαβηθῆναι. μελαίνετο] μέλαν τὸ σῶμα αὐτῆς ἐτελειοῦτο, ὅ ἐστιν 〈ἐπελιδνοῦτο〉 τὸ καλὸν αὐτῆς σῶμα.

5 356 [ἠέρι δὲ ἔγχος—ἵππω] ἀντὶ τοῦ· ὀμίχλῃ δὲ αὐτοῦ ἐκεκάλυπτο τὸ δόρυ 〈καὶ οἱ〉 ἵπποι, ὅ ἐστιν ἀόρατος ἦν. [χρυσάμπυκας] ἀπὸ μέρους, ἢ χρυσοκόμους.

5 362 ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο] ὃς οὐκ ἂν ἀπόσχοιτο οὐδὲ τῆς πρὸς τὸν Δία μάχης. [Οὐρανιώνων] τῶν ἐν οὐρανῷ οἰκούντων θεῶν, ἢ ἀπὸ τοῦ Οὐρανοῦ τὸ γένος ἐχόντων.

5 380 [καὶ ἀθανάτοισι μάχονται] καὶ ὑπὲρ τὴν δόκησιν τῶν ἀνθρώπων. [κεράμῳ] ἄλλως· χαλκῷ ἀγγείῳ, πίθῳ, ἢ δεσμωτηρίῳ.

5 389 ἐὰν μὴ ἡ τοῦ Ἑρμοῦ μητρυιὰ Ἠερίβοια ἀπήγγειλε τῷ Ἑρμῇ ἵνα ἐκκλέψῃ τὸν Ἄρην τοῦ δεσμοῦ. Ἠερίβοια δὲ ἡ ἀέρια καὶ μεγάλα βοῶσα. Ἀντίμαχος δὲ—παραδίδωσιν. [ἐν Πύλῳ] ἐν τῇ πύλῃ, πρὸς τῇ πύλῃ· οὐ γὰρ ἐν τῇ Πύλῃ τῶν Πυλίων, ἀλλ’ ἐν τῇ πύλῃ τῇ τῶν νεκρῶν, κατὰ τὴν τοῦ Κερβέρου ἀναγωγήν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

5 401 ὀδυνήφατα] τὰς ὀδύνας καταπαύοντα καὶ φθείροντα. ὀβριμοεργὸς] μεγάλοις ἔργοις ἐπιτιθέμενος, καὶ ἰσχυρὰ διαπραττόμενος, ἰσχυροπράγμων, ἰσχυρὸς ἐν τῷ ἐργάζεσθαι, ἰσχυρὰ ἐργαζόμενος.

5 403 ἄλλως· αἴσυλα] ἁμαρτωλά, παράνομα. ὁ δὲ Ἀπίων ἐτυμολογῶν —ἑτέρου α δηλοῦντος 〈κειμένην〉 .... [παππάζουσιν] ἄλλως· πάππα φωνοῦσι, πατέρα καλοῦσιν. [5]

5 412 περίφρων] περισσόφρων, ἄγαν συνετή, περισσῶς φρονοῦσα. χαμαὶ ἐρχομένων] ἀντὶ τοῦ ἀποθνησκόντων, ἢ ἐπὶ τῆς γῆς βαδιζόντων, ἢ χαμαιριφῶν ἢ φθαρτῶν.

5 446 Περγάμῳ] τῇ ἀκροπόλει τῶν Τρώων, τῆς Ἰλίου οὕτω καλουμένης. [ἀδύτῳ] ἄδυτα γὰρ καλοῦνται οἱ τόποι τῶν ἱερῶν.

5 474 [γαμβροῖσι] οἱ ἄνδρες τῶν θυγατέρων 〈τοῖσ〉 ἐκδεδωκόσιν. γαμβρὸς δὲ καλεῖται ὁ γήμας ὑπὸ τῶν οἰκείων τῆς γαμηθείσης. [κὰδ δὲ κτήματα πολλὰ] λείπει τὸ ἔλιπον.

5 485 [τύνη] σύ Δωρικῶς, ἀπὸ τοῦ τύ ἐν παραγωγῇ—καὶ ἐμίνη. ἁψῖσι] τοῖς ἅμμασι—δίκην δικτύου.

5 488 ἕλωρ] ἕλκυσμα, ἕλυμα καὶ ἀναίρεμα. ἐσχημάτισται παρὰ τὸ ἑλεῖν. ἄχνας] τὰ λεπτὰ τῶν ἀχύρων ἢ τὰ ἄχυρα.

5 499 ἄχνη δὲ καλεῖται καὶ ὁ ἐπιπολάζων τῷ κύματι ἀφρός. ἀλῳὰς] τοὺς τόπους φησὶν ὅπου ὁ πυρὸς πατεῖται. παρὰ τὸ ἀλοιῶ. διὸ σὺν τῷ ι γράφεται τὸ ἀλῳή. σημαίνει δὲ καὶ τὴν δενδροφόρον γῆν [λικμώντων] ἀπὸ τοῦ σίτου τὰ ἄχυρα διαιρούντων· λικμᾶν γάρ ἐστι τὸ χωρίζειν ἀπὸ τοῦ σίτου τὸ ἄχυρον τοῖς πτύοις.

5 500 ξανθὴ Δημήτηρ] ὁ πυρός. ὁ δὲ τρόπος μετωνυμία. ἢ αὐτὴ ἡ θεὸς, ἢ 〈ἡ〉 γεωργικὴ ἐπιστήμη. [ἐπέπληγον] πλήσσοντες σφοδρῶς καὶ ἐντόνως ἤγειρον καὶ ἀνέπαλλον καὶ ἐκίνουν.

5 509 χρυσαόρου] ἄλλως· χρυσοφασγάνου, χρυσοῦν ξίφος ἔχοντος. οἱ δὲ νεώτεροι—τὴν λέξιν. πέφανται] πεφονευμένοι εἰσὶν ἢ ἀναιροῦνται.

5 531 σημαίνει δὲ καὶ τὸ γεγένηνται. [Αἰνείεω] «Αἰνείεω» Ἰωνικῶς, καὶ κατὰ συναλοιφὴν Αἰνείω Αἰνείου.

5 538 [εἴσατο καὶ τῆς] γράφεται καὶ «χαλκός». νειαίρῃ] τῇ νεάτῃ.

5 539 λέγει δὲ κατὰ τὸ ἔσχατον μέρος τῆς γαστρός. διδυμάονε] δίδυμοι.

5 548 τὰ μὴ συμφυῆ δίδυμα λέγει ὁ ποιητὴς, ὡς Ἀρίσταρχός φησιν. εὔπωλον] καλοὺς ἵππους ἔχουσαν, εὔιππον, 〈ἢ〉 ἐν ᾗ ἔστι καλῶς ἀναστραφῆναι.

5 556 ἴφια μῆλα] ἤτοι εὐτραφῆ, ἢ κατ' εὐφημισμὸν ἀντὶ τοῦ ἀσθενῆ, ἢ ἰσχυροποιὰ τῶν ἐσθιόντων. ἀποσφήλειε πόνοιο] ἀποσφαλῆναι καὶ ἀποτυχεῖν ποιήσει τοῦ ἔργου.

5 574 δειλώ] δειλαίους, ταλαιπώρους. σημαίνει δὲ ὁ δειλός καὶ τὸν κακὸν καὶ τὸν ἄνανδρον. μορμύροντα] ὀνοματοποιητικὴ λέξις ἀπὸ τοῦ ψόφου 〈τοῦ ἐν〉 τοῖς ὕδασι γινομένου.

5 612 Παισῷ] Παισὸς πόλις Τροίας, ἣν ἐν ἄλλοις Ἀπαισὸν μετὰ τοῦ α προσηγόρευσεν. (Il. II, 828.) ἄλλως· πολυλήϊος] πολλὰ λήϊα ἔχων—ἀπὸ λῃστείας.

5 618 ἔχευαν] δαψιλῶς ἔπεμψαν, ἐπέχεαν ἀθρόως. ἡ μεταφορὰ ἀπὸ τῶν ὑγρῶν. λὰξ προσβὰς] λάξ τὸ στῆθος τοῦ ποδός.

5 620 ὁμωνύμως δὲ ἡ ἀπὸ τούτου πληγὴ καλεῖται. ἐλάκτισε προσελθὼν 〈καὶ〉 ἀνεσπάσατο, ἀνείλκυσεν. [χασάμενος πελεμίχθη] ἄλλως· κατὰ ἀναστροφὴν εἴρηται ἀντὶ τοῦ πελεμιχθεὶς ἀνεχάσατο.

5 629 [κραταιή] ἀπότιμος, ἰσχυρά. φασὶν Εὐρώπῃ τῇ Φοίνικος— —εἰς Κρήτην ἐκόμισεν. θρασυμέμνονα] τολμηρόν, θρασὺν—ἐν τῇ μάχῃ.

5 639

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θυμολέοντα] λεοντόψυχον, γενναῖον, ὡς λέοντος ἔχοντα ψυχήν. χήρωσε] ἐκένωσεν, ἐρήμους ἐ 〈ποίησ〉 εν.

5 645 [οὐδ' εἰ μάλα κάρτερός ἐσσι]. 〈εἰρωνικῶσ〉 , ἢ τὸ «δέ» ἀντὶ τοῦ γάρ καὶ τὸ «εἰ» περισσόν. ἁμαρτῇ] βληθέντα ὁμοῦ.

5 656 〈λέγει δὲ τὴν〉 κατὰ τὸ αὐτὸ ἄφεσιν καὶ ἐπιτυχίαν. ἀναφώνημα.

5 694 θύραζε] ἔξω. κυρίως μὲν—νῦν δὲ κεῖται ἀντὶ τοῦ ἔξω. [προτρέποντο] ἄλλως· προτροπάδην ἔφυγον, ὅ ἐστι στραφέντες, μὴ στρεφόμενοι οὖν· προτραπῆναι γάρ ἐστι τὸ μὴ στραφέντα φυγεῖν.

5 724 ἴτυς] εἰς ἣν αἱ κνῆμαι 〈αἱ〉 ἀπὸ τῆς χοινικίδος ἐμπήγνυνται. [χάλκε' ἐπίσσωτρα] σιδηροῖ ἢ χαλκοῖ κύκλοι τῶν τροχῶν.

5 728 [ἄντυγες] τὰ ἐπὶ τοῦ δίφρου—ἐξάπτονται. ῥυμὸς] ὁ ζυγός, ἤτοι ὁ προσηρμοσμένος τῷ ζυγῷ κανὼν εἰς ὀξὺ λήγων, ὅ ἔστι μέσον ξύλον.

5 730 [λέπαδνα] ἄλλως· οἱ μὲν μαχαλιστῆρας, οἱ δὲ ἀσφαλίσματα. ζυγὸν] τὸ ἐπίθετον ξύλον τοῖς τραχήλοις τῶν ἵππων. [πέπλον] ἄλλως· γυναικεῖον ἱμάτιον, τουτέστι χιτὼν, ὃν οὐκ ἐνεδύοντο, ἀλλ' ἐπερονῶντο.

5 734 κατέχευε] καταχθῆναι ἐποίησε λυσαμένη τὰς περόνας. διὰ τούτου δηλοῖ ὅτι οὐκ ἐνεδύοντο τὸν πέπλον, ἀλλ' ἐπερονῶντο· ἀρθεισῶν γὰρ τῶν περονῶν καταρρέων φαίνεται ὁ πέπλος εἰς τὸ ἔδαφος. ἀμφίφαλον] φαλοὺς περὶ αὐτὴν ἔχουσαν. [5]

5 743 φαλοὶ δέ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι. ἑκατὸν πόλεων πρυ〈λέεσς' ἀραρυῖαν〉 ] πολλῶν πόλεων πολλοῖς ὄχλοις ἐξαρκέσαι δυναμένην.

5 774 * τὸ σχῆμα προεπίζευξις ἢ Ἀλκμανικόν. [δέδυκεν] γράφεται καὶ «λέλυκεν».

5 816 * σχῆμα· θέσις καὶ ἄρσις. * [ἐφετμέων] παρὰ τοῖς λογογράφοις ἐφίεμαι τὸ ὀρέγομαι καὶ τὸ προστάσσω.

5 824 μάχην ἀνακοιρανέοντα] αἱ προθέσεις—τηροῦσιν. ** [δῦν' Ἄϊδος κυνέην] παροιμία· ἐνδὺς τὴν κυνῆν τοῦ Ἅιδου· ἐπὶ τῶν κεκρυμμένων.

5 857 κενεῶνα] κενεών ἐστι τόπος κενὸς ὀστέων, ἢ λαπάρα ἢ λαγών. δυσαέος] χαλεπῶς πνέοντος, δυσπνόου.

5 867 φαίνεθ' ὁμοῦ νεφέεσσιν ἰὼν] εἰς τὸ «νεφέεσσι» διαστολὴ— ἀνιὼν εἰς οὐρανὸν. [σοὶ πάντες μαχόμεσθα] οὐχὶ σοὶ, φησὶ, εἰς μαχὴν καθιστάμεθα.

5 882 μαργαίνειν] μαίνεσθαι. μάργος, ᾗ μή ἐστιν ἀρωγός. [ἤ κεν] ἢ ἦ καὶ ὄντως.

5 889 [μινύριζε] θρήνει, ἤγουν ἀποδύρου, ἢ ἠρέμα θρήνει. ἀάσχετον] ἀνυπομόνητον, οὐχ οἷόν τε ἐπισχεθῆναι.

5 892 οὐκ ἐπιεικτόν] οὐ καταπληκτόν, οὐχ ὑποχωρητόν, οὐκ εὐένδοτον. ὀπὸς] ὅ ἐστι φυτοῦ δάκρυον.

5 904 [θοῦρον] ἄγριον καὶ αἰχμητήν. ἀμφότερα λέγει ὑφ' ἕν. χαλεπὸν ἐν τῷ μάχεσθαι. οἰώθη] ἐμονώθη—ἐγένετο.

6 3 ἀλλήλων ἰθυνομένων] ἀντὶ τοῦ ἐπ' ἀλλήλους ἰθυνόντων, τουτέστιν ἐπ' εὐθείας βαλλόντων. σημείωσαι· ἕρκος Ἀχαιῶν] τρισὶ μεταφοραῖς—βοήθεια.

6 12 [Ἄξυλον] οἰκεῖον τὸ ὄνομα φιλοξένῳ· Ἄξυλος γὰρ παρὰ τὸ ἄγειν. τινὲς δὲ τὸν ξύλα δαπανῶντα. ** [ὁδῷ ἔπι οἰκία ναίων] παρὰ τῇ ὁδῷ τὰ οἰκήματα ἔχων.

6 22 νύμφη] τοῦτο γενικόν ἐστιν ὄνομα. καλοῦνται δὲ αἱ Νύμφαι Ναΐδες ἐκ τῶν ναμάτων, καὶ ἄλλαι διαφόρως. σκότιον] 〈τὸν〉 ἐκ λαθραίας μίξεως, τὸν λάθρα γεγενημένον, οὐκ ἐκ τῆς κατὰ τὸν νόμον γαμηθείσης, τὸν ἐξ ἀδᾳδουχήτων γάμων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

6 35 Ἀχιλλεὺς ὑπὸ τὸν Τρωϊκὸν πόλεμον—ἡ ἱστορία παρὰ Δημητρίῳ. ὄζῳ ἔνι βλαφθέντε] ὑπὸ τοῦ ὄζου ἐπισχεθέντες, ὑπὸ τοῦ κλάδου ἐμποδισθέντες.

6 48 πολύκμητος] μετὰ πολλοῦ καμάτου γενόμενος ἢ πολὺν κάματον παρεχόμενος. ἀνετράπετο] ἀνετράπη εἰς τοὐπίσω, ἔπεσεν ὕπτιος.

6 68 ἐπιβαλλόμενος] ἐπιθυμῶν—ἐπιθυμῶν. [ἐγκέκλιται] ἔγκειται ἐν τῇ ἡμετέρᾳ φροντίδι.

6 79 [πᾶσαν ἐπ’ ἰθύν] κατὰ πάντα τὰ μέρη τῆς μάχης καὶ τῆς φρονήσεως ὑμεῖς διαφέρετε. ἐπὶ γούνασιν] ἀντὶ τοῦ παρὰ τοῖς γόνασι, παρὰ τοὺς πόδας· ὀρθὸν γὰρ τὸ Παλλάδιον.

6 97 ἄγριον αἰχμητὴν] ἄγριον ἐν τῷ αἰχμάζειν. ὑφ’ ἓν ἀμφότερα. λέγει δὲ χαλεπὸν ἐν τῷ μάχεσθαι. προβέβηκας] προελήλυθας, ὑπερεμάχησας, ὑπερβέβηκας.

6 130 οὐδὲ γὰρ οὐδὲ Δρύαντος] Διόνυσος ὁ Διὸς καὶ Σεμέλης— πεποιηκὼς Εὔμηλος. μαινομένοιο] μανιοποιοῦ διὰ τὴν μέθην, ὡς τὸ «χλωρὸν δέος» τὸ χλωροποιόν.

6 133 σημείωσαι· Νυσήϊον] ἐν ἄλλοις—τὰ περὶ τὴν Λυκούργου δίωξιν ἐγένοντο. θύσθλα] οἱ μὲν τοὺς κλάδους, οἱ δὲ τοὺς θύρσους— τελετήν.

6 150 ἔνθα δὲ Σίσυφος] Διὸς τὴν Ἀσωποῦ—παρὰ Φερεκύδει. τέμενος] ἀποτετμημένη γῆ κατὰ τιμὴν.

6 195 [φυταλιῆς] δενδροφόρου γῆς ἢ ἀμπελοφόρου. [τὸ Ἀλήϊον] ἄλλως· οὕτω πεδίον τῆς Λυκίας καλούμενον ἀπὸ τῆς τοῦ Βελλεροφόντου ἄλης, τουτέστι πλάνης.

6 205 χρυσήνιος] χρυσᾶς ἡνίας ἔχουσα, ὡς ἐφ’ ἅρματος ὀχουμένη. [καὶ πιστώσαντο] καὶ συνθήκας ἐποίησαν.

6 236 ἑκατόμβοια] ἑκατὸν—ἀλφεσίβοιαι.» ἐννεαβοίων] ἐννέα βοῶν—δεκαβοίων. [ξεστῇσι] εὖ ἐξεσμέναις, εὖ κατεσκευασμέναις.

6 243 [αἰθούσησι] 〈στοαῖσ〉 καταλαμπομέναις ἢ αἰθούσαις, διὰ τὸ αἴθεσθαι —βολήν. [δεδμημένοι] ᾠκοδομημένοι.

6 245 σημαίνει δὲ καὶ 〈τὸ〉 δεδαμασμένοι. μνηστῇσι] ταῖς μεμνηστευμέναις φησὶ, ταῖς ἐκ μνηστείας γεγαμημέναις.

6 247 ἔκφρασις. [ἠπιόδωρος] ἤπια καὶ πρᾷα, τουτέστι πραϋντικὰ, δωρουμένη κατὰ τὴν παιδοτροφίαν ἢ λαβοῦσα, ὡς πολύδωρος.

6 252 [Λαοδίκην ἐσάγουσα] ἀντὶ τοῦ πρὸς Λαοδίκην πορευομένη· ἔτυχε γὰρ πρὸς αὐτὴν εἰσελθεῖν βουλομένη. ** [μή μ’ ἀπογυιώσῃς] σημειωτέον ὅτι ὁ οἶνος ἄνευ τῆς τροφῆς βλαπτικός.

6 265 ** [μή μ’ ἀπογυιώσῃς] ὁ γὰρ μετὰ τὸν πόνον οἶνος ὠφέλιμος, ὁ δὲ πρὸ τοῦ πόνου ἐπιβλαβής. ὅθεν καὶ ἐπιδέχεται πολλάκις—πολεμίζει καὶ τὰ λοιπά.

6 260-265 ἔστι δὲ καὶ ἑτέρα λύσις τοῦ ζητήματος καθ’ ὑπερβατὸν ἐξηγουμένων τινῶν οὕτως· «μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ, χερσὶ δ’ ἀνίπτοισι—εὐχετάασθαι· μή μ’ ἀπογυιώσῃς, μένεος— λάθωμαι» ἵνα ὡς μὴ καθαρὸς—ὥστε μὴ κεῖσθαι ἐναντία. λύθρῳ] τῷ μετὰ κονιορτοῦ αἵματι, ἢ ἱδρῶτί τινι μεθ’ αἵματος καὶ κονιορτοῦ γαῖα χάνοι] 〈διασταίη〉 ἡ γῆ—ἡ γῆ. [5]

6 285 ὀϊζύος] μόχθου καὶ κακοπαθείας· «εἰ θεασαίμην αὐτὸν νεκρὸν, ὑπολάβοιμι ἂν κατὰ φρένα—μισεῖται. ἄλλως· ἤτοι τὴν ἐμὴν φρένα—πάσης ταλαιπωρίας ἀτέρπου. «ἡ δ’ εἰς οἶκον ἰοῦσα παρίστατο φωριαμοῖσιν».

6 288 Gen. II: αὕτη 〈δ’ εἰς οἶκον〉 πορευθεῖσα παρέστη τοῖς κιβωτοῖς. ἐς θάλαμον 〈κατεβήσετο〉 κηώεντα] εἰς τὸν θάλαμον τὸν τεθυμιασμένον. εἴρηται δὲ—θυμιάματα. [ἤγαγε Σιδονίηθεν] παριὼν οὖν διὰ τῆς Σιδόνος κἀκεῖθεν γυναῖκας ἔξω τοῦ ἄστεος εὑρὼν ἔλαβε τρόπῳ λῃστρικῷ. [5]

6 292

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνήγαγεν] τὸν εἰς τὴν Ἴλιον πλοῦν ἀνάπλουν καὶ ἀναγωγὴν εἴρηκεν ὁ ποιητής. εὐπατέρειαν] ἔνδοξον κατὰ πατέρα Διὸς γὰρ ἦν θυγάτηρ ἡ Ἑλένη. ὀλολυγῇ] μετὰ ὀλολυγμοῦ.

6 301 φωνὴ δὲ αὕτη γυναικῶν εὐχομένων θεοῖς. [ἐρυσίπτολι] φυλάσσουσα τὴν πόλιν· εἴρυσθαι γάρ ἐστι τὸ φυλάττειν.

6 320 [πόρκης] ἄλλως· ὁ κρίκος—δόρατος. [οὐ μὲν καλὰ χόλον] ἤτοι οὐ καλῶς νῦν—ἔχεις οὐδὲ ἐν καιρῷ ταύτην ποιῇ.

6 331 θέρηται] θερμαίνῃ· νῦν δὲ ἀντὶ τοῦ καίηται. [νεμέσσει] μέμψει .

6 335 … μεμφόμενος ἢ ἐγκαλῶν. ἐπαμείβεται] ἐξ ἀμοιβῆς παραγίνεται, ἐναλλὰξ πρὸς ἄλλον καὶ ἄλλον χωρεῖ.

6 344 ὀκρυοέσσης] τραχείας—ταλαιπώρου. τεκμήραντο] ἐβουλεύσαντο ἢ ἐτελειώσαντο ἢ εἰς τέλος ἤγαγον.

6 353 ἐπαυρήσεσθαι] ἐπιτυχεῖν ἢ ἀπολαῦσαι ἢ μεταλήψεσθαι. ἀοίδιμοι] μετ’ ᾠδῆς μνημονευόμενοι, διαβόητοι, οἷον ἀειδόμενοι καὶ θαυμαζόμενοι.

6 366 οἰκῆας] νῦν ἀντὶ τοῦ οἰκείους, τοὺς κατὰ τὴν οἰκίαν. ὑπότροπος] ἐξ ὑποστροφῆς ἀνεληλυθώς.

6 367 [γαλόων] ἀνδρὸς ἀδελφῶν, ὁμοίως δὲ 〈ἡ〉 γυναικὸς ἀδελφὴ γάλως λέγεται. [εἰνατέρων] ἄλλως· εἰνάτερες καλοῦνται αἱ τῶν ἀδελφῶν γυναῖκες πρὸς ἀλλήλας, οἷον Ἑλένη πρὸς Ἀνδρομάχην.

6 391 ὁδὸν] βατῆρα, βαθμόν. σημαίνει δὲ καὶ τὴν στράταν. [πολύδωρος] ἄλλως· ἡ πολλὰ δῶρα λαβοῦσα παρὰ τοῦ μνηστευσαμένου.

6 396 ὑληέσσῃ] ὕλην—ὑληέσσῃ. Ὑποπλακίῃ] ὑπὸ Πλάκῳ, ὄρει τῆς Κιλικίας.

6 397 Κιλίκεσσι] Κίλικας λέγει τοὺς τὰς Ὑποπλακίους Θήβας οἰκοῦντας. χήρη] ἔρημος.

6 408 ἰδίως δὲ τάσσεται ἐπὶ τῆς τὸν ἄνδρα ἀποβεβληκυίας, ἀνάνδρου. [εἰλιπόδεσσι] εἰλίποδας ἐπιθετικῶς λέγει τοὺς βοῦς, ὅτι ἑλίσσουσι τοὺς πόδας ἐν ταῖς πορείαις.

6 434 ἐπίδρομον] ἐξ ἐπιδρομῆς, καθ’ ὃ ἔστιν ἐπιδραμεῖν τὴν ὁδὸν τὴν κατερχομένην ἀπὸ τοῦ τείχους καὶ ἀναβῆναι τὴν αὐτήν. [ἑλκεσιπέπλους] τὰς ἐφελκομένας τοὺς πέπλους διὰ περιουσίαν.

6 442 ἑλκυθμοῖο] ἑλκυσμοῦ, ἀνδραποδισμοῦ, τουτέστιν αἰχμαλωσίας. ἠλακάτην] τὸ τῶν γυναικῶν—Ἄρτεμιν.

6 506 ἀκοστήσας] ἄκος—ἴαμα. κυρίως δὲ πᾶσαι αἱ τροφαὶ ἀκοσταὶ καλοῦνται παρὰ 〈Θεσσαλοῖς, ὡς καὶ Νίκανδρος, παρὰ〉 τὸ ἵστασθαι 〈τὰ σώματα〉 τρεφόμενα, ἐν ἄλλῳ καιρῷ 〈παραλαβών〉. βέλτιον 〈δὲ〉 δυσχεράνας ἐπὶ τῇ τῆς φάτνης στάσει. [πεδίοιο] λείπει ἡ διά, ἵν’ ᾖ διὰ πεδίοιο.

6 507 κροαίνων] ἐπικροτῶν τοῖς ποσὶν, ἢ ἐπιθυμῶν, ἢ χρεμετίζων. ἐϋρρεῖος ποταμοῖο] λείπει—ὕδωρ.

6 512 Περγάμου ἄκρης] τῆς ἀκροπόλεως τῆς Ἰλίου, ἣ ἐκαλεῖτο Πέργαμος. ἠθεῖε] προσφώνησις νεωτέρου ἀδελφοῦ φιλοφρονητικὴ κατὰ τιμὴν πρεσβυτέρου.

6 518 ταῦτά τινες προσαγορευτικά. οὐδέποτε δὲ περί τινος αὐτά φασιν ἀλλὰ πρός τινα. ἐναίσιμον] καθῆκον κεῖται δὲ ἀντὶ τοῦ ἐναισίμως, καθηκόντως.

6 528 [κρητῆρα … ἐλεύθερον] κρατῆρα ἐλεύθερον, ὃν εἰώθασι τῷ Διὶ ὑπὲρ ἐλευθερίας ἱστάναι κρατῆρα οἱ τοὺς πολεμίους ἀπωσάμενοι. φαίδιμος] ὁ λαμπρός, ὁ φαιδρὸς τοῖς ὅπλοις, κατὰ τὴν τάξιν ἢ τῇ τῶν ὅπλων φαντασίᾳ.

7 7 [τὼ] ἤγουν δυϊκῶς. κορυνήτης] Ἀρηΐθοος—παρὰ Φερεκύδει.

7 9

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈ὁ τῇ κορύνῃ μαχόμενοσ〉 , τουτέστι ῥοπάλῳ. ἔστι δὲ ἐπίθετον Ἀρηϊθόου. [στεφάνης] ἔστι δὲ στεφάνη κόσμος γυναικεῖος—χειμάρροος ὤσῃ.

7 12 » [γλαυκῶπις Ἀθήνη] ἡ φρόνησις τῶν ἀρίστων Ἑλλήνων.

7 26 [ἑτεραλκέα νίκην] ἄλλως· ἑτεραλκῆ. οὕτως ἡ νίκη λέγεται —παρέχουσαν. τῶν δ᾽ Ἕλενος] μυθεύεται τῶν ἐξ Ἑκάβης—μεταλαβεῖν.

7 44 ἱστορεῖ Ἀντικλείδης. μέσσου δουρὸς ἑλὼν] ἐκ μέσσου κρατῶν τὸ δόρυ.

7 56 σημεῖον δὲ ἡσυχίας πολέμου. αἰγυπιοῖσιν] οἱ μὲν εἶδος—ἐδέξαντο.

7 62 [πεφρικυῖαι] συνεσταλμέναι· φρὶξ γὰρ ἡ ἐπανάστασις τῶν κυμάτων. φρίσσει τις φόβῳ ἢ ψύχει ἢ ὀργῇ· ἀψύχους οὖν τὰς φάλαγγας φρίσσειν φησίν. ἐπιφρίξ] ἡ ἐξ ἐπιπολῆς κίνησις τοῦ ὕδατος, ὅ ἐστι τοῦ κύματος ἀρχομένου, ἢ τὸ ἐπιπολάζον—τῶν κυμάτων ἀκούειν.

7 77 ταναήκεϊ] ἐπιμήκη καὶ τεταμένην ἔχοντι τὴν ἀκμὴν, τουτέστιν ἠκονημένην τὴν αἰχμήν. ταρχύσωσι] θάψωσι.

7 85 τάρχεα δὲ—ἀπὸ τῆς ταραχῆς. [πλατεῖ Ἑλλησπόντῳ] κατ᾽ ἀντίφρασιν—πεπλατυσμένῳ.

7 93 αἴδεσθεν μὲν] σημείωσαι· δειλῶν μὲν γάρ· δεῖσαν μὲν διὰ τὰς σπονδὰς—δεδιότες. ἀπειλητῆρες] καυχηταί, ἀπειλεῖν εἰδότες.

7 96 τοὺς δὲ τοιούτους καὶ καυχηματίας λέγουσιν. [αἰνόθεν αἰνῶς] ἐκ δεινοῦ—δεινότερα.

7 99 ὕδωρ καὶ γαῖα γένοισθε] ἀναλυθείητε εἰς ὕδωρ— τὰς ψυχὰς διαφθείρει. [ἀκήριοι] ἀκλεεῖς καὶ ἄδοξοι καὶ ἀνονόμαστοι.

7 118 γόνυ κάμψειν] ἀναπαύσεσθαι ἢ συγκάμψειν—διώκεσθαι. [πολλὸς] εἰς πολλὰ μέρη ἐξηπλωμένος.

7 156 [παρήορος] λέγει δὲ οὕτως—καὶ τὸν ἄφρονα. ἐπὶ τὸ τέλος τοῦ στίχου στικτέον· «τὸ διαμπερὲς ὅς κε λάχῃσιν.

7 171 » ἵν᾽ ᾖ· «τοῦ κλήρου διὰ πάντων ἐλθόντος ὃς ἂν λάχῃ.» οἱ δὲ οὕτως διέστησαν· « 〈διαμπερὲσ〉 ὅς κε λάχῃσιν· 〈οὗτος γὰρ δὴ ὀνήσει», ἵν᾽ ᾖ τὸ ἑξῆσ〉 · «οὗτος γὰρ ὀνήσει διαμπερὲς 〈ὅς κε λάχῃσιν〉 .» οὐ παραιτητέον 〈δὲ〉 διὰ τὸν ὑπερβιβασμὸν τοῦ αἰτιώδους συνδέσμου· Ὁμηρικὸν γάρ. Jusqu’ à ὀνήσει διαμπερὲς (l. 8) [ἐσημήναντο] ἐσημειώσαντο. [5]

7 175 ἐξ οὗ δηλοῖ ὅτι οὐ γράμματα ᾔδεισαν οἱ ἥρωες. [νώροπι] νῶροψ ἐτυμολογεῖται ἀπὸ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ ὁρῶ, τὸ βλέπω· ὁ στερίσκων δηλονότι τῆς ὁράσεως.

7 216 [πάτασσεν] ἐπέβαλλεν. ἐπειδὴ ἐν παλμῷ καὶ κινήσει ἦν. ὑποτρέσαι] ὑποχωρῆσαι, ἐκφυγεῖν ἢ ὑποφυγεῖν διὰ δέος.

7 223 ζατρεφέων] ἄγαν ἐπιμελῶς τεθραμμένων, ἄγαν εὐτραφῶν, μεγάλως τεθραμμένων. βῶν] βοῦν Δωρικῶς—τὸ ὅπλον.

7 238 τό μοι] διό μοι ἢ ὅπερ μοι. ταλαύρινον πολεμίζειν] πληκτικῶς καὶ ὑπομονητικῶς πολεμεῖν καὶ μάχεσθαι.

7 239 [ταλαύρινον] τὸ ὅπλον. μεταληπτικῶς εἰς τὸ συνώνυμον. μέλπεσθαι] κυρίως μὲν παίζειν—κατὰ τὴν μάχην.

7 262 [τμήδην] τμητικῶς—τρῶσαι. [ἐπομφάλιον] τὸ ἐπικείμενον τῷ τῆς ἀσπίδος ὀμφαλῷ.

7 298 θεῖον—ἄγωνα] εἰς τὸ τῶν θεῶν—ἄθροισμα. λέγει δὲ τὰ ἱερά. [θυμοβόροιο] τῆς τὴν ψυχὴν ἐσθιούσης.

7 302 ἀρθμήσαντε] φιλιωθέντες δυϊκῶς· ἀρθμὸν γὰρ τὴν φιλίαν φησίν. διέχευαν] διεμέρισαν—μιστύλλειν λέγεται.

7 316bis

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤγουν ἐμέρισαν· μεταφορικῶς ἀπὸ τῶν ὑγρῶν. [μίστυλλόν τ’—ὀβελοῖσιν] ἢ οὕτως· «καὶ ἐπισ 〈τημονικῶσ〉 κατακόψαντες 〈τοῖσ〉 ὀβελίσκοις 〈διέ〉 πειραν καὶ ἐκέντησαν.

7 318 » [ὤπτησάν τε—πάντα] ἢ οὕτως· «καὶ πάντα 〈μάλα〉 ἐμπείρως ὀπτήσαντες ἐξειλκύσαντο».

7 321 διηνεκέεσσι] ἐπιμήκεσιν, ἢ ἐπὶ πολὺ διήκουσιν, ἢ ..... ὅ ἔστι συχνός. [κυκλήσομεν] κύκλοι οἱ τροχοί.

7 346 τετρηχυῖα] τραχεῖα καὶ βορβορώδης ἢ τετραχυμμένη ὑπὸ τοῦ θορύβου. δεῦτ’ ἄγετε] τὸ αὐτὸ ἐκ παραλλήλου.

7 353 ἵνα μὴ ῥέξομεν] ἀντὶ τοῦ ἐὰν μὴ ῥέξωμεν. δυσηχέος] κακοήχου—φωνάς.

7 384 [ἠπύτα] ἄλλως· ἀντὶ τοῦ ἠπύτης. ὅ ἐστι φωνητικὸς καὶ κρακτικός, μεγαλόφωνος, ἔμφωνος. [γνωτὸν] φανερόν.

7 404 ἔστι δὲ καὶ ὄνομα 〈ἀντὶ〉 ἀδελφοῦ. [κατακαιέμεν] ἀντὶ τοῦ κατακαιέμεναι, ὅ ἐστι κατακαίειν.

7 409 φειδὼ] φροντὶς ὥστε μὴ ἁλωθῆναι. βέλτιον δὲ ἀκούειν τὸ περὶ τῆς ταφῆς φείσασθαι. πυρὸς μειλισσέμεν] διὰ πυρὸς μειλίσσειν.

7 410 λέγειν δὲ κινδυνεύει ταφῆς μεταδιδόναι, ἢ διὰ πυρὸς θάπτειν. ἐρίγδουπος] μεγάλους ψόφους ποιῶν διὰ τῶν βροντῶν, μεγαλόηχος διὰ τὰς βροντάς.

7 411 πλεονάζει δὲ τὸ γ στοιχεῖον. μεθ’ ὕλην] ἐπὶ ξύλα.

7 418 ὕλη δὲ ἡ σώρευσις τῶν ξύλων. [ἀκαλαρρείταο] ἡσύχως καὶ πρᾴως—λέγουσιν.

7 425 βρότον] τὸ μετὰ ἱδρῶτος καὶ κόνεως αἷμα. ὀξυτόνως δὲ τὸν ἄνθρωπον. ἐνίψει] κυρίως μὲν—λέξει.

7 467 νῆες 〈δ’〉 ἐκ Λήμνοιο] Λήμνιοι—Ἀσκληπιάδῃ ἐν τοῖς τραγῳδουμένοις. [χίλια μέτρα] ἤτοι οἴνου χίλια κεράμια, ἢ χιλίους χοέας.

7 474 [αὐτῇσι βόεσσιν] αὐταῖς ταῖς βουσίν. [ὕπνου δῶρον] περιφραστικῶς τὸν ὕπνον.

8 1 Ἠὼς] ἡ ἡμέρα. σημαίνει δὲ πολλά—εἰλήλουθα». κροκόπεπλος] κροκωτὸν ἱμάτιον ἔχουσα, κροκοείμων καὶ διαυγής. ἀπὸ τῆς κατὰ τὴν ἀνατολὴν χροιᾶς τοῦ ἡλίου γενομένης ἐρυθρᾶς. τοῦτο δὲ εἶπεν ὡς ἐπὶ σωματοειδοῦς θεᾶς ποιούμενος τὸν λόγον. 〈ἐσ〉 Τάρταρον] τὸ ὑπὸ τὴν γῆν ἐσκοτισμένον—τὸ ἀφώτιστον μέρος τῆς οἰκουμένης μέρος ἐδέξαντο.

8 15 [χάλκεος οὐδός] χαλκῆ εἴσοδος, ἢ σκληρὰ καὶ ἰσχυρά. [τόσσον] ἔνερθ’ Ἀΐδαο, κατώτατα τοῦ Ἅιδου.

8 16 τοσοῦτόν φησι τὸν Τάρταρον—λέγων εἶναι. ἄλλως· σημείωσαι ὡς τὰ οὐράνια τρία διαστήματα — σφαιροειδὴς ἡ γῆ. σειρὴν χρυσείην] ἅλυσιν.

8 19 χρυσῆν δὲ προσέθηκε βουλόμενος —τὸν ἥλιον. σειρὴν 〈χρυσείην〉 ἐξ οὐρανόθεν κρεμάσαντες] καὶ τὰ ἑξῆς. κατὰ τὸν μῦθον—ὑπ’ αὐτοῦ. σειρὴν μέν κεν ἔπειτα] ἐνταῦθα οἱ μέν φασι—κρατεῖν.

8 25 περὶ ῥίον] περὶ τὸ ἄκρον, ἢ ῥέον ἀπὸ τοῦ περιρρεῖσθαι τοῖς ὄμβροις. ὦ πάτερ ἡμέτερε] αἱ τοιαῦται προσφωνήσεις—παραδίδωσιν.

8 45 ** [οὐκ ἄκοντε] οὐκ ἄκοντες, ἀλλ’ ἑκόντες. ἡ ἀπόφασις ἀντὶ καταφάσεως. [μητέρα θηρῶν] ἥτις ἔχει πολλὰ θηρία, θηροτρόφος.

8 48 Γάργαρον] τὸ ἀκρωτήριον τῆς Ἴδης—Φαλάκρη Gen III ajoute: ἢ πόλις ἐστὶν ὀνομασθεῖσα ἀπὸ Γαργάρου τοῦ Διός. [τέμενος] τόπος ἱερός, εἰς τιμὴν, ἀπὸ 〈τοῦ〉 τετιμημένος. [χρειοῖ ἀναγκαίῃ] διὰ χρείαν ἀνάγκην ἐπιφέρουσαν καὶ ἐπείγουσαν.

8 66

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ἠὼς] νῦν τὸ ἑωθινὸν κατάστημα ἕως μεσημβρίας. [ἀέξετο ἱερὸν ἦμαρ] ὅ ἐστιν ἕως ὑψοῦτο ἥλιος ὁ τὴν ἡμέραν ποιῶν. [βέλεα] πᾶν τὸ ἀπὸ διαστήματος πεμπόμενον βέλος καλεῖται.

8 69 [χρύσεια ... τάλαντα] λέγει τὴν τοῦ Διὸς διάνοιαν. [πρῶται τρίχες] πρώτας δὲ τρίχας λέγει τὸ καλούμενον προκόμιον.

8 87 παρηορίας] τὰς τοῦ παρηόρου—ἵμαντας. [ἀπέταμνε] ἀπέκοπτε. δεινός ἐστιν—συντόμως τὸ πρᾶγμα ἐδήλωσεν. ἡνίοχον] τὸν ἐπιβάτην τοῦ δεσπότου.

8 104 ἠπεδανὸς] ἀσθενὴς ἢ ἄτεχνος—δι’ ἰσχὺν ἑστώς. Gen II ajoute βεβαίως. [ἀγαπήνωρ] ὁ ἀγαπῶν τὴν ἠνορέην ἤγουν τὴν ἀνδρείαν.

8 130 [ἀμήχανα] πρὸς ἃ οὐκ ἄν τις σχοίη μηχανὴν εὑρεῖν, ἐξ οὗ δεινὰ καὶ χαλεπά. σήκασθεν] ὡς εἰς σηκὸν κατεκλείσθησαν—τὰ ἀγάλματα.

8 135 [θεείου] θείου. προσληπτέον—τόπῳ. ὥς ποτ’ ἀπειλήσει] καυχήσεται—ἐλεύσεσθαι.

8 221 πορφύρεον μέγα] ἐπεὶ ἀδύνατον ἦν διὰ βοῆς αὐτοὺς καταστεῖλαι, ἕνεκα τοῦ ἑαυτὸν εὐχερῶς σημᾶναι μεταχειρίζεται τὸ πορφυροῦν φάρος. μεγακήτεϊ νηῒ] τῇ μέγα κῦτος ἐχούσῃ, πλατείᾳ.

8 228 εἶδος ἀγητοὶ] τὸ ὁραθῆναι μόνον θαυμαστοὶ καὶ οὐκ ἐπὶ ἔργῳ. ἠγοράασθε] ἐλέγετε.

8 230 ἅστινάς ποτε ἐν Λήμνῳ ἐλέγετε καυχώμενοι πίνοντες οἶνον πλεῖστον καὶ κάλλιστον. ἄλλως· ἃς ὁπότ’ ἐν Λήμνῳ κενεαυχέες] τὸ «ὁπότε» ἐστὶν Ἀττικῶς ὅτε καὶ ἀποτελεῖ ἀνταποδοτικὴν περίοδον. [ἃς ὁπότε] οὐκ ἔστιν ἀνταπόδοσις· ὁ γὰρ λόγος «ὅτε ἐν Λήμνῳ ἐκαυχᾶσθε». [ἐπιστεφέας] πλήρεις. ὁ τρόπος μεταφορά. ὑπερμενέων] ὑπὲρ τὸ δέον βιαίων, ὑπερεχόντων τῇ δυνάμει, ἀνδρείων. [5]

8 247 αἰετὸν] μέγιστον ἢ ἐντελῆ—δηλοῦν τὸ ἀληθές. πὰρ δὲ Διὸς βωμῷ] [πανομφαίῳ] 〈πανομφαῖος ὁ〉 πάσης φήμης καὶ κληδόνος αἴτιος· ὀμφὴ γὰρ ἡ θεία κληδών.

8 260 ἀράβησεν] ἐψόφησεν. ὀνοματοποιΐα ὁ τρόπος. ὑπεξέφερεν] ἔξω αὐτὸ τοῦ Τεύκρου ἐποίει.

8 282 φόως] φῶς, σωτηρία. σημαίνει δὲ κυρίως τὸ φῶς .... καί σε νόθον περ ἐόντα] ἐζήτηται δὲ πῶς ἐξ ἁπάντων— τοὺς γνησίους ὑπερέβαλεν.

8 284 ἱστορία εἰς τὸ αὐτό· Ἡρακλῆς πορθήσας—ἐν τῷ δευτέρῳ τῶν γενῶν. πρεσβήϊον] πρεσβεῖον, ἀριστεῖον, τὸ ὑπὲρ τιμῆς διδόμενον δῶρον.

8 290 τρίποδα] λέβητα ἔχοντα αὐτοφυεῖς πόδας. [ἥ κέν τοι—εἰσαναβαίνοι] ἥτις τῆς αὐτῆς κοίτης κοινωνήσει.

8 297 τανυγλώχινας] μακρὰς καὶ ὀξείας γωνιώσεις ἔχοντας, ὅ ἐστιν ἀκίδας. [ἐξ Αἰσύμηθεν] ἀπὸ Αἰσύμης πόλεως.

8 306 μήκων δ’ ὣς] ὡς μήκων. ὁ τρόπος ἀναστροφή. κάρη βάλεν, ἥτ’ ἐνὶ κήπῳ] ἤτοι τὸ ἡ μετὰ 〈τοῦ〉 τέ περισσεύει, ἵνα ᾖ· «ὡς μήκων ἑτέρωσε ἀπέκλινε τὴν κεφαλήν ....» [ἥτε] σημειωτέον ὅτι θηλυκῶς εἶπε τὴν μήκωνα.

8 307 βριθομένη] ἀντὶ τοῦ βρίθεται, ὅ ἐστι βαρεῖται, καὶ οὐχ ὥς τινες εἶπον βαρουμένη· κέχρηται γὰρ τῇ μετοχῇ ἀντὶ ῥήματος, καὶ ἔστι τὸ σχῆμα ἴδιον Αἰολέων. οὐκ ἀμέλησεν] ἐφρόντισεν.

8 331 ὁ τρόπος ἀντίφρασις. βλεμεαίνων] σφοδρῶς ἐπιρρωνυόμενος—ἐνδεικνύμενος.

8 338 συὸς ἀγρίου] σημειωτέον ὅτι—αἶγα. ἀμφιπεριστρώφα] πανταχοῦ περιεστρέφετο, ὅ ἐστιν ἐνεργικῶς περιέλαυνεν.

8 349 Γοργοῦς ὄμματα] γοργότητος ἢ ἀντὶ τοῦ γοργά, ὅ ἐστι φοβερά. ἀπὸ εὐθείας τῆς Γοργώ ἡ γενικὴ Γοργοῦς. οὐκέτι νῶϊ] κοινῇ ἡμῖν· Δωριεῖς γάρ φασιν ἄμμες, Ἀττικοὶ δὲ νώ, Ἴωνες ἡμέας.

8 352 ἔστι δὲ ἀντωνυμία δυϊκὴ ὀρθῆς καὶ αἰτιατικῆς πτώσεως. ἐὰν δὲ σὺν τῷ ν , ἡμῶν καὶ ἡμῖν. ἄλλως· οὐκέτι νῶϊ] οὐκέτι σώους θῶμεν τοὺς Ἕλληνας, ὧν διαπολομένων φροντίδα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιησόμεθα ἐξ ὑστέρου. Εὐρυσθῆος] Εὐρυσθέως τοῦ Ἀργείων βασιλέως, τοῦ ἐπιτάττοντος Ἡρακλεῖ τοὺς ἄθλους. [5]

8 366 πευκαλίμῃσι] συνεταῖς, ἢ πικραῖς παρὰ τὴν πεύκην πυλάρταο] ἰσχυρῶς—ἐξ Ἅιδου.

8 368 [ἐξ Ἐρέβευς] ἐκ τοῦ Ἐρέβους, ὅ ἐστι σκότους. ἔστι δὲ ὁ πρὸ τοῦ Ταρτάρου τόπος. ἐξ Ἐρέβευς ἄξοντα] τελεσθέντων τῶν Ἡρακλέους—κομίζειν.

8 369 [Στυγὸς] Στὺξ μία τῶν Ὠκεανοῦ—ἐν Ἅιδου αἰπὰ] ὑψηλά, ἐξ οὗ καὶ χαλεπά. μύκον] ἢ 〈ἠνοί〉 γησαν.

8 393 ὀνοματοποιΐα ὁ 〈τρόποσ〉. [ἕλκε' ἀπαλθήσεσθον] ἰαθήσεσθε.

8 405 δυϊκῶς. ἀελλόπος] ταχύπους παρὰ τὰς ἀέλλας, ὅ ἐστιν ἀνέμους.

8 410 πολυπτύχου] πολλὰ ἀποκλίματα ἔχοντος καὶ ἐξοχάς. μώνυχας ἵππους] μονώνυχας—χηλάς.

8 434 κάπῃσι] φάτναις—ὅ ἐστιν ἐσθίειν. πρὸς ἐνώπια] πρὸς τοὺς ἐξ ἐναντίας—θυρῶν.

8 450 πάντως οἷον ἐμὸν γένος] ἡ δὲ τοῦ πάντων—καταγωνισθῆναι. ἐπέμυξαν] μεμυκόσι τοῖς χείλεσιν ἐστέναξαν, ἐπεγόγγυσαν.

8 463 οὐκ ἐπιεικτόν] οὐκ εὔεικτον, οὐκ εὐσυγχώρητον. ἠοῦς] ἕω, ὄρθρου, τῇ ἐπιούσῃ ἡμέρᾳ.

8 476 στείνει ἐν αἰνοτάτῳ] στενώματι· στεῖνος γὰρ εἴωθε λέγειν τὴν στενὴν ὁδόν. λέγει δὲ 〈νῦν〉 τὴν ἀπὸ πολλοῦ πλήθους 〈γινομένην〉 στενοχωρίαν. «αἰνοτάτῳ» δὲ τῷ χαλεπῷ διὰ τὸν φόβον. ἵν' Ἰαπετός τε Κρόνος τε] Διὸς μεταστήσαντος— Ὀφιώνιον προσαγορευθέν.

8 479 Ἰαπετός] Οὐρανοῦ παῖς εἷς τῶν Τιτάνων. Ὑπερίονος] τοῦ ἡλίου—συνέχεται.

8 488 ἀσπασίη] εὐκταία τρίλλιστος] πολυλιτάνευτος. ἐν καθαρῷ] ἔξωθεν δεῖ—νεκρῶν.

8 508 ἠριγενείης] ἤτοι τὸν ὄρθρον γεννώσης, ἢ ὑπὸ τοῦ ὄρθρου γεννωμένης. ἀσπουδεί] ἄνευ κακοπαθείας, χωρὶς πόνου.

8 518 παῖδας πρωθήβας] πρῶτον ἡβῶντας, νέον ἀκμάζοντας. πολιοκροτάφους] πεπολιωμένους. ἀπὸ μέρους ἡ συνεκδοχή. θεοδμήτων] καθότι Ποσειδῶν καὶ Ἀπόλλων ᾠκοδόμησαν αὐτούς, ἤτοι ὑπὸ θεῶν ᾠκοδομημένων.

8 520 θηλύτεραι] αἱ πρὸς τὰ ἀφροδίσια—πλησιάζουσιν. λόχος] ἐνέδρα, ὅθεν καὶ λοχαγοὶ οἱ ταξίαρχοι.

8 527 Κηρεσσιφορήτους] τοὺς ὑπὸ εἱμαρμένης ἠγμένους, μοιρηφορήτους, ἢ οὓς αἱ μοῖραι ἀποίσουσιν. ὑπ' ἠοῖ] ὑπὸ τὴν ἕω, ὑπὸ τὸν ὄρθρον.

8 545 ὁ τρόπος μετάλλαξις. εἵατο—πολλά] βαρυτόνως ἀναγνωστέον, ἵνα μὴ συνεμπέσῃ τὸ «πύρα» τῷ σημαίνοντι τὴν φλογοειδῆ.

8 555 φαεινὴν ἀμφὶ σελήνην] τὴν φύσιν λαμπράν. τοῦτο δὲ καθόλου τῆς σελήνης ἐπιθετικόν ἐστι, κἂν μὴ πανσέληνος ᾖ. πρώονες] οἱ προνενευκότες τῶν ὀρῶν τόποι καὶ προβεβλημένοι παρὰ τὸ .

8 557 ... ἐξέχειν. γέγηθε—ποιμὴν] «ποιμήν» εἶπεν—ὁ τρόπος.

8 563 πὰρ δὲ ἑκάστῳ] τῷ «ἑκάστῳ» συναπτέον τὸ «σέλα», ἵν' ᾖ· παρ' ἑκάστῳ σέλαι καὶ φωτὶ τοῦ πυρὸς, τουτέστι παρὰ ἑκάστῃ— μυριάδες ἦσαν. κρῖ] κριθάς.

8 564 ἀποκοπὴ ὁ τρόπος. ὀλύρας] εἶδος σπέρματος παραπλήσιον κριθῆς. εὔθρονον] καλὸν θρόνον ἔχουσαν βασιλικὸν, ἢ καλὸν ἅρμα, μεταληπτικῶς.

9 1 φυλακὰς ἔχον] ἐφύλασσον. καλῶς δὲ εἶπεν· οἱ μὲν γὰρ Τρῶες —ὑπὸ τοῦ δέους. θεσπεσίη ἔχε φύζα] ἰδίως μὲν διὰ Τρῶας, ἰδίως δὲ διὰ τὸν πεσόντα κεραυνόν.

9 2 «φύζα» δὲ ἀεὶ ἡ μετὰ δέους φυγὴ, νῦν δὲ ἔκπληξις. ἀπολογεῖται δὲ, ὅτι ἐκ θεῶν. κρυόεντος] κρυόεις δὲ ὁ φόβος—ἐδήλωσεν. [κρυόεντος] φοβεροῦ συμβαίνει—ὀδόντας. [ἑταίρη] συνεργός,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φίλη. σημειωτέον δὲ ὅτι τὴν φυγὴν ὁ ποιητὴς τοῦ φόβου εἴρηκεν ἑταίραν. βεβολήατο] ἐπὶ μὲν σώματος βεβλήατο, ἐπὶ δὲ ψυχῆς «βεβολήατο». [5]

9 3 ἄλλως· τὴν ψυχὴν τετρωμένοι ἦσαν, ἐλυποῦντο. ὡς δ' ἄνεμοι] καλῶς—φόβου.

9 5 Βορέης καὶ Ζέφυρος τώ τε] πῶς ἀμφοτέρους—Θρῄκης πνεῖ. κορθύεται] κορυφοῦται—κόρθυς γὰρ ἡ σωρός.

9 11 [κλήδην] καλοῦντας, κηρύσσοντας. μηδὲ βοᾶν] μηδὲ βοῶντας· νυκτὸς γὰρ οὔσης—γένηται.

9 14 μελάνυδρος] πολύυδρος—τὸ βάθος. αἰγίλιπος] ὑψηλή, ἣν ἂν καὶ αἴξ ἀπολίποι διὰ τὸ ἄγαν—τῶν στεναγμῶν.

9 30 τετιηότες] τετιμωρημένοι, λυπούμενοι. σοὶ πρῶτα μαχήσομαι] ἀντὶ τοῦ τῷ λόγῳ σου ἀντιστῶ.

9 33 ᾗ θέμις] ὡς νόμος—ὥσπερ ἐν δημοκρατίᾳ. ἀλκὴν μέν μοι] σημειωτέον· 〈περὶ τῆς δυνάμεώς μου ὠνείδισάς με〉 ἐν τοῖς Ἕλλησιν ὡς ἀσθενέστατον—τί πτώσσεις; τί δ' ὀπιπτεύεις πολέμοιο γεφύρας;» καὶ τὰ ἑξῆς.

9 36 ἠδὲ γέροντες] γέροντας εἶπε διὰ τὸν Νέστορα, ἐπεὶ μικρῷ πρότερον αὐτὸν ἐσεσώκει ἐν τῷ πολέμῳ. διάνδιχ' ἔδωκε] τοῖν δυοῖν ἕτερον ἔδωκεν.

9 43 πάρ τοι ὁδός] πάρεστί σοι τὰ πρὸς τὴν ὁδὸν ἡτοιμασμένα, εἰ βούλει ἀπαλλάττεσθαι. νῆες—θαλάσσης] αἱ δὲ νῆές σου ἐγγὺς τῆς θαλάσσης εἰσί. διὰ δὲ τοῦ πλήθους τῶν νεῶν δειλίαν αὐτοῦ κατηγορεῖ. ἑστᾶς' αἵ τοι] διὰ τοῦ πλήθους τῶν νεῶν δειλίαν αὐτοῦ κατηγορεῖ καὶ διὰ τοῦ εἰπεῖν «ἄγχι θαλάσσης».

9 47 φευγόντων] προσληπτέον—φευγέτωσαν, εἴ εἰσι τῶν φευγόντων. οὔτις τοι τὸν μῦθον] πῶς ὁ Νέστωρ—εἰσηγεῖται.

9 57 ἐμὸς δέ κε πάϊς] ἐμὸς δ' ἂν καὶ παῖς νομισθείης καὶ τῶν παίδων μου ὁ νεώτατος. ἀτὰρ πεπνυμένα βάζεις] οὐ μὴν τέλος—ἅτινα αὐτὸς ἀναπληρώσει.

9 63 ἀφρήτωρ] ὁ φρατρίαν καὶ συγγένειαν μὴ ἔχων. φρατρία δὲ κυρίως ἐστὶ τὸ τρίτον μέρος τῆς φυλῆς. [ἐπιδημίου] τοῦ μὴ πρὸς πολεμίους, ἀλλὰ πρὸς οἰκείους γινομένου.

9 66 [φυλακτῆρες] ἀπὸ ὀρθῆς τοῦ φυλακτήρ. [ἀτὰρ πεπνυμένα—βασιλῆας] συνετῶς δὲ λέγεις παρὰ πάντας τοὺς βασιλεῖς τῶν Ἑλλήνων.

9 70 [δαίνυ δαῖτα γέρουσιν] ἐφ' ἑστίασιν καλὴν 〈ἄγε〉 τοὺς ἐντίμους. [πᾶσά τοί ἐσθ' ὑποδεξίη] πάρεστί σοι ἀφθόνως ἡ πρὸς ὑποδοχὴν δαψίλεια.

9 75 [βουλὴν βουλεύσῃ] τὸ σχῆμα παρονομασία. Θρασυμήδεα] ὁ δὲ τρόπος ἐπέκτασις.

9 81 τὸ ἔθος Ἰώνων. [μενοεικέα] τῷ μένει εἴκουσαν, αὐτάρκη.

9 93 [ὑφαίνειν] κατασκευάζειν. μεταφορά. [περὶ μὲν φάσθαι] βουλεύεσθαι, ὑπὲρ πάντας λέγειν.

9 101 κρηῆναι] ἐπιτελέσαι, ἐπιτρέψαι, ἢ πεισθῆναί σε 〈εἰσ〉 τέλος ἀγαγεῖν καὶ τὸ ὑπὸ τῶν ἄλλων καλῶς λεγόμενον. εἰπεῖν εἰς ἀγαθόν] ἢ ἀγαθὴν εἰσενέγκασθαι γνώμην.

9 102 [σέο δ' ἕξεται ὅττι κεν ἄρχῃ] ἤτοι τῶν λόγων κατόρθωμα σὸν ἔσται· εἰς σὲ γὰρ ἀνενεχθήσεται. Διογενεῦς] περισπωμένως ἀναγνῶμεν· συναίρεσιν γὰρ ἔπαθεν, ἐπεὶ τὸ ἐντελές ἐστι Διογενέος, τοῦ ἀπὸ Διὸς τὸ γένος ἔχοντος.

9 109 ἀπεμυθεόμην] ἐκώλυον. γράφεται δὲ καὶ «ἐπεμυθεόμην», ἵν' ᾖ ἀπελογιζόμην. [μεγαλήτορι θυμῷ εἴξας] νικηθεὶς ὑπὸ τῆς ὀργῆς.

9 115 οὐδὲν ψευσάμενος τὰς ἐμὰς ἄτας εἶπας. ἀντί νυ πολλῶν] ἀντάξιος πολλῶν ἐστιν ὁ ὑπὸ Διὸς φιλοτιμούμενος ἀνήρ.

9 120

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρέσαι] ἀρέσασθαι, εἰς ἀρεσκείαν ἐλθεῖν, φιλοφροσύνην. τάλαντα] τὰ νῦν ἑξακισχίλια—ταῦτα δέ ἐστι χρυσίου τάλαντον.

9 122 A la marge de la scolie la note: σημείωσαι περὶ τοῦ ταλάντου 〈ὅσ〉α σημαίνει. αἴθωνας] τοὺς πρὸς τὸ πῦρ ἐπιτηδείους καλουμένους ἐμπυριβήτας.

9 123 παρὰ τὸ αἴθεσθαι. [ἀέθλια] ἔπαθλα θέματα.

9 130 αἳ κάλλει ἐνίκων] παρὰ Λεσβίοις—Ἔρεσον, Μήθυμναν, Πύρραν, Μυτιλήνην. [μετὰ δ᾽ ἔσσεται] ἐν αὐταῖς δὲ ἔσσεται καὶ ἡ Βρισηΐς.

9 133 ὀμόσει, φησὶ, τὸ μηδέποτε συγκεκοιμῆσθαι, ὅ ἐστι μεμῖχθαι. Λαοδίκη—Εὐριπίδης.

9 147 ἐπιμείλια] τὸ ἑξῆς· ἐπιδώσω μείλια. μείλια δέ εἰσιν οἷς μειλίσσονται—διατιθεμένην κατὰ τὴν ψυχήν. [νέαται] ἤτοι ἔσχαται, ἢ κατῳκισμέναι εἰσίν.

9 154 [πολύρρηνες] πολυθρέμματοι, πλούσιοι· ῥῆνες γὰρ οἱ ἄρνες. λιπαρὰς—θέμιστας] ὅσα δεῖ βασιλέα—λαμπροὺς τελέσουσι φόρους.

9 158 [δμηθήτω] δαμασθήτω, τουτέστι πρᾶος καὶ ἐπιεικὴς γενέσθω. [ἀδάμαστος] ὑποταγῆναι μὴ δυνάμενος. κλητοὺς] ἐξ ὀνόματος κεκλημένους, ἐπιλέκτους.

9 168 [ἡγησάσθω] ἀπελθέτω. διὰ τὸ τροφέα αὐτὸν εἶναι Ἀχιλλέως. [δενδίλλων] περιβλέπων—ὀφθαλμούς.

9 181 [πειρᾶν ὡς πεπίθοιεν] πειράζειν εἴ τι πείσειεν. τὼ δὲ βάτην παρὰ θῖνα] ζητοῦμεν εἰ καὶ Φοῖνιξ—πεντήκοντα.

9 188 ἐξ ἐνάρων] πιθανῶς ἐκ λαφύρων ἔφη κεκτῆσθαι τὸν Ἀχιλλέα τὴν κιθάραν. εὑρόντα οὖν—ἀπρεπὲς ἦν. [κλέα] δόξας.

9 189 παρὰ τὸ κλύεσθαι, ὅ ἐστιν ἀκούεσθαι. [Αἰακίδην] παππωνυμικῶς.

9 194 αὐτῇ σὺν φόρμιγγι λιπὼν ἕδος] καθέδραν. στικτέον δὲ— τῇ κιθάρᾳ. σημείωσαι· τὸ ἡμιστίχιον δύναται—συνάπτειν. [ὣς δ᾽ αὔτως] παραπλησίως δὲ, ὁμοίως.

9 197 [τι] μέλλον δεινόν. [κλισμοῖσι] καθέδραις ἀνακλίσεις ἐχούσαις.

9 200 [τάπησι] μαλλωτοῖς ὑφάσμασιν. [μελάθρῳ] τῷ οἴκῳ.

9 204 ἀπὸ τοῦ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ. [ἐν πυρὸς αὐγῇ] περιφραστικῶς ἐν τῷ πυρί.

9 207 νῶτον] ψόαν, νωτιαῖον κρέας. ῥάχιν] νῶτον, ψόαν, ἐπεὶ κατὰ τοῦτο τὸ μέρος ῥαχίζονται.

9 214 κρατευτάων] τῶν βάσεων—κακῶς. [εἰν ἐλεοῖσιν ἔχευεν] ἀπὸ τῶν ὀβελίσκων εἵλκυσεν.

9 223 [νεῦς᾽ Αἴας Φοίνικι] διενεύσατο—Ὀδυσσεύς. ζητεῖται δὲ διὰ τί—προδοθῆναι χάριτος.

9 226 ἠμὲν ἐν κλισίῃ Ἀγαμέμνονος] διὰ τί—τραπέζης. ἀπὸ τοῦ τῶν νεῶν ἄρχεται κινδύνου· τοῦτο γὰρ καὶ τῷ Ἀχιλλεῖ δέος παρεῖχεν.

9 231 δύσεαι] ἀναλάβῃς τὴν δύναμίν σου καὶ κατέλθῃς ἐν τῷ πολέμῳ βοηθήσων. [βλεμεαίνων] διὰ τοῦ βλέμματος—ἐπιδεικνύμενος.

9 241 ἄκρα κόρυμβα] διὰ τί δὲ, φασὶ, πρῶτον—τοῦτο ποιεῖ [ἄνα] ἀποκοπὴ ὁ τρόπος.

9 250 [ῥεχθέντος κακοῦ] ἀμήχανον δὲ λοιπὸν μετὰ τὸ πραχθῆναι τὸ κακὸν θεραπείαν εὑρεῖν αὐτοῦ. τέκνον ἐμόν] προσληπτέον τάδε λέγων.

9 311 [τρύζητε] πολυλογῆτε. ἀπὸ τῆς τρυγῶνος ἡ μεταφορά. [Ἀΐδαο πύλῃσιν] τῷ θανάτῳ περιφραστικῶς.

9 313 [κεύθῃ] νῦν δὲ ἐνθυμῆται. τῆς ἐμῆς ψυχῆς ἐν τοῖς κινδύνοις καταφρονῶν.

9 325 [ἴαυον] διετέλουν πολλάκις. [ἔμπεδα] ἑδραῖα· πέδον γὰρ ἡ γῆ.

9 340

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ μοῦνοι] δυσκόλου 〈τῆσ〉 ἐρωτήσεως οὔσης αὐτὸς ἐπιφέρεται. [τὴν αὐτοῦ] προσυπακουστέον γαμετήν.

9 343 [περ] τὸ περ ἐναντιωματικόν. [ἤλασε] κατὰ μῆκος ἔσκαψε τῷ τείχει.

9 360 ἦρι] ὄρθρου πάνυ, ὅθεν καὶ ἠριγένεια. [Ἑλλήσποντον] ἀντὶ τοῦ δι' Ἑλλησπόντου. Ἑλλήσποντος— —ἀδελφῆς. [ἔρρων] διὰ τὰ συμβάντα.

9 368 [ἐφυβρίζων ἀφείλετο] ἀφείλετο μεθ' ὕβρεως. ἐν καρὸς αἴσῃ] ἐν μοίρᾳ θανάτου· σημείωσαι ὡς θάνατον περιφραστικῶς τινές 〈φασι λέγειν τὸν ποιητὴν〉 μετατρέποντα τὸ η εἰς α , ἵν' ᾖ κατὰ κηρὸς, ἀκούοντες κατὰ θανάτου.

9 378 ἢ ὡς ἔνιοι ἐν τάξει— ἀτιμότατοι. τὸ σχῆμα τραχύτης.

9 381 [ποτινείσεται] ὅ ἐστιν ἀνάκειται. [Θήβας] τὰς νῦν καλουμένας Διόσπολιν.

9 385 ἀντὶ τοῦ ἀναρίθμητα, ἢ πολλὰ τῷ πλήθει. [ἰσοφαρίζοι] καὶ «ἐρίζοι» τὸ αὐτό ἐστιν ἐκ παραλλήλου.

9 395 ἀν' Ἑλλάδα τε Φθίην τε] Ἀρίσταρχος—εὐρυχόροιο». [ἔνθα δέ μοι] περισσὸν τὸ «δέ».

9 398 [ἀγήνωρ] νῦν ὁ ἄγαν ἀνδρεῖος, ὁτὲ δὲ ὁ αὐθάδης καὶ ὑπερήφανος. [εἰκυῖαν ἄκοιτιν] ἐμοὶ πρέπουσαν γαμετήν.

9 400 γέρων] εἴρηται ἢ παρὰ τὸ γέρας εἶναι, ἵν' ᾖ παρώνυμον τὸ ὄνομα, ἢ παρὰ τὸ ἕτοιμος ἤδη εἰς τιμὴν ἢ εἰς γῆν, ὁρῶν ἐγγὺς τοῦ θανάτου. [ληϊστοὶ] ἀπὸ κοινοῦ τὸ «ληϊστοί».

9 407 [ξανθὰ] πυρρά. λέγει δὲ ἀπὸ μέρους τοὺς ἵππους. [ἀργυρόπεζα] εὔπους, καλὴ ἀπὸ μέρους.

9 411 [θανάτοιο τέλος δὲ] τοῦ θανάτου περιφραστικῶς. [κλέος ἄφθιτον] ἀθάνατος δόξα καὶ φήμη.

9 425 ἑτοίμη] φανερά. λέγει δὲ τοῦτο—πεῖσαι. ἀναπρήσας] ἀναφυσήσας, ἢ ἀθρόον καταβαλών.

9 443 ἀντὶ τοῦ διδάσκαλον ἐσόμενον λόγων ὧν δεῖ λέγειν καὶ ἔργων ὧν δεῖ πράσσειν. φεύγων—Ἀμύντορος] Φοῖνιξ—παραδίδωσιν.

9 454 Ἐρινῦς] καταχθόνιοι—ἀσεβημάτων. [Περσεφόνεια] Ἰωνικὴ διάλεκτος.

9 464 [ἀμφὶς ἐόντες] περὶ ἐμὲ ὄντες, παρόντες. [εὐερκέος] ἀσφαλῆ περιβολὴν ἐχούσης.

9 478-479 [Ἑλλάδος—Φθίην] Ἑλλὰς καὶ Φθία πόλεις τῆς Θετταλίας. [τοσοῦτον ἔθηκα] τηλικοῦτον ἐποίησα.

9 485 ἔστι δὲ ποσότης ἀντὶ πηλικότητος. προταμὼν] ἤτοι ἀποκόψας, ἤτοι τὸ σκληρὸν τῆς τροφῆς προκατεργασάμενος.

9 491 ἀποβλύζων] ἀπεμῶν. ὀνοματοποιΐα ὁ τρόπος. στρεπτοὶ] εὐμετάστρεπτοι—πείθεσθαι.

9 502 Λιταί] θεαὶ οὕτως ἐπικαλούμεναι. καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι] ἀνειδωλοποιεῖ—φαίνεσθαι. La note σημείωσαι περὶ λιτῶν en marge. ῥυσσαί τε] ῥυτίδας ἔχουσαι.

9 503 ῥυτίδες δὲ καλοῦνται αἱ ἐπὶ τοῦ μετώπου τοῦ δέρματος συστροφαί. παραβλῶπες] παρηγμέναι ἢ διάστροφοι τοὺς ὀφθαλμοὺς, ἐπειδὴ οἱ ἱκετεύοντες ὑπὲρ—καὶ τὰς θέας ἔχοντες. [βλάπτους' ἀνθρώπους] ἃ ἐκείνη βλάπτει.

9 512 [ἵνα βλαφθεὶς ἀποτίσῃ] ἄλλως· δίκην ἀποδῷ, ὅ ἐστι τιμωρίαν. μῦθον ἐλέγξῃς] διὸ, φησὶ, μὴ ἀτιμάσῃς ἡμῶν τὸν ὑπὲρ τῆς ἀξιώσεως λόγον καὶ πρεσβείαν.

9 523 [πόδας] ἤγουν τὴν ἐνθάδε ἄφιξιν. πρὶν—κεχολῶσθαι] πρότερον δὲ οὐ μεμπτὸς ὑπῆρχες ὀργιζόμενος.

9 527 πάλαι] πρὸ πολλοῦ. ἐπίρρημα χρόνου δηλωτικόν. Αἰτωλοὶ] οἱ Καλυδώνιοι—Αἰτωλίας.

9 534 θαλύσια] τὰς ὑπὲρ εὐθαλείας—τῇ Δήμητρι. [ἰοχέαιρα] βέλεσι χαίρουσα, τοξότις.

9 539

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χλούνην] κατὰ τὸ ἔτυμον χλοεύνην, τὸν ἐν τῇ χλόῃ εὐναζόμενον ἀφριστὴν, οἱ δὲ τὸν ἐντομίαν, ἄλλοι δὲ τὸν ἐπὶ Χλούνῃ, χωρίῳ οὕτω καλουμένῳ, ἐνδιατρίβοντα. ὡς καὶ τῆς κεφαλῆς—Μελέαγρος.

9 554 [οἰδάνει] εἰς ὕψος αἴρεσθαι ποιεῖ, ἐμπίπρησιν. [Ἀλθαίῃ] Ἀλθαία ἡ μήτηρ τοῦ Μελεάγρου, ἡ δὲ Κλεοπάτρα Ἴδου καὶ Μαρπήσσης, τῆς Εὐήνου θυγατρὸς, Μελεάγρου δὲ γυνή.

9 562 [ἐπώνυμον] ἀντὶ τοῦ φερώνυμον—αὐτὴν Ἀπόλλων. Ἀλκυόνην καλέεσκον] Κῆϋξ—αὐξανομένου.

9 562bis σημείωσαι· εἴρηται δὲ ἀλκυών παρὰ τὸ ἐν ἁλὶ κύειν. οἱ οὖν γονεῖς —ὁ Ἀπόλλων. [κασιγνήτοιο φόνοιο] διὰ τὸν φόνον—Πλήξιππος.

9 568 χερσὶν ἀλοία] ταῖς χερσὶν—φησίν. [ἠεροφοῖτις Ἐρινὺς] εἴρηται δὲ Ἐριννύς ἤτοι παρὰ τὸ 〈ἐν τῇ〉 ἔρᾳ ναίειν—ἐκτελοῦσα.

9 579 [πεντηκοντόγυον] πεντήκοντα γυῶν, ὅ ἐστι πλέθρων. ἄροσιν] τὴν ἄδενδρον χώραν, τὴν πρὸς τὸ σπείρεσθαι καὶ ἀροῦσθαι ἐπιτηδείαν.

9 580 [ταμέσθαι] εἰς τιμὴν λαβεῖν. [κολλητὰς σανίδας] περιφραστικῶς—συνηρμόσθαι.

9 590 ἠθοποιΐα. [ἀμαθύνει] κατὰ μικρὸν δαπανᾷ, ὅ ἐστιν ἄμαθον καὶ κόνιν ποιεῖ.

9 595 κακὰ ἔργα] φησὶ τὰ πολέμια. ἄττα] καὶ ἔστι προσφώνησις νεωτέρου πρὸς πρεσβύτερον.

9 607 τοῦτο δὲ ὑπερβιβάσαντες τέττα λέγουσιν, ὅ ἐστιν ἑταῖρε. [ἀπέχθηαι] ἤτοι ἐχθρὸς γενήσῃ.

9 630 μετατρέπεται] ἐπιστροφὴν ποιεῖ, φροντίζει. ἀντίκτησιν ἔλαβέ τις ὑπὲρ ἀδελφικοῦ φόνου.

9 638 [οἵης] ἢ ὁποίας εἰρωνικῶς, ἢ μιᾶς κόρης. [μέλαθρον] συνεκδοχικῶς.

9 646 οἰδάνεται] πληροῦται—οἴδημα. ἀσύφηλον] ἀμαθῆ.

9 647 οἱ δὲ ἀντὶ τοῦ ἀσυφήλως, ὅ ἐστιν ὑβριστικῶς. [ἀτίμητον] ἄτιμον.

9 648 ἤτοι ἐν τιμήματι πολιτείας 〈οὐ〉 συναριθμούμενον—πολιτείαις. ἀλλ’ ὑμεῖς ἔρχεσθε] διὰ τί τὸν Φοίνικα—τροφέα αὐτὸν κατέχει.

9 661 κώεα] κώδια, ὅ ἐστι προβάτων δέρματα. καὶ εἴρηται ἀπὸ τοῦ κεῖν, ὅ ἐστι κοιμᾶσθαι. [ῥῆγος] ἤτοι ἱμάτιον. καὶ ῥηγεῖς οἱ βαφεῖς. [λίνοιό τε λεπτὸν ἄωτον] περιφραστικῶς λινοῦν περιβόλαιον. [Λεσβόθεν] Λέσβος πλησίον Ἀσίας.

9 665 ** [Διομήδη.] αἴνιγμα· ὃν οὐκ ἔκτανεν ὁ Διομήδης, τοῦτον ἔκτανεν 〈ὁ〉 Διομήδης. Ἐνυῆος πτολίεθρον] ὑπὸ Ἐνυέως βασιλευθέν.

9 668 ἦν δὲ οὗτος υἱὸς Διονύσου. [Σκῦρον] Σκῦρος, νῆσος 〈καὶ〉 πόλις—Κιλικίας, μία 〈δὲ〉 τῶν Κυκλάδων, ἣν οὐ πορθήσας, ἀλλ’ εἰρηνικῶς καταλαβὼν ἐλαφυραγώγησεν.

9 670 [κυπέλλοις] παρὰ τὴν κοιλότητα. [σβέσαι] καταπαῦσαι ἡ μεταφορὰ ἀπὸ τοῦ πυρός.

9 679 [σὲ δ’ 〈ἀναίνεται ἠδὲ σὰ δῶρα〉] παραιτεῖται ἐκφαυλίζων. οὐ παραπρεσβεύει δὲ Ὀδυσσεὺς, ἀλλὰ πρὸς αὐτὸν εἶπε ταῦτα ἀναγγεῖλαι. δήετε] εὑρήσετε· ἐξ οὗ τινες καὶ τὴν Δήμητραν—εὑρήσεις.

9 688 ζητεῖται διὰ τί—ἀλλ’ οὗτοι, 〈ὅτι καὶ αὐτοὶ ἐδόκουν〉. [Αἴας] θέλων—σιωπᾶν.

9 698 [μὴ ὄφελες] ἀντὶ τοῦ—εὑρίσκεται. ἀγήνωρ] ἄγαν αὐθάδης καὶ ὑπερόπτης, ὑβριστής, ἢ ὁ ἀγαπῶν τὴν ἠνορέην ἢ τὴν ἀνδρείαν.

9 700 [μᾶλλον ἀγηνορίῃσιν ἐνῆκας] αὐθάδη νῦν ἐποίησας αὐτὸν πλέον καὶ ἐφυσίωσας. τότε δ’ αὖτε] εἰκὸς—προσθεῖναι αὐτά.

9 705 [τεταρπόμενοι] εἰς τέρψιν ἐληλυθότες. ** [ἐπάλυνεν] ὡς παιπάλῃ τὴν γῆν ἐλεύκανεν.

10 12

Eulogikon public reading copy · View original HTML at eulogikon.org

** [θαύμαζε πυρὰ] πῶς, φησὶν, ὁ Ἀγαμέμνων— εὐχερῶς δύνηται πάντα θεωρεῖν. ** κυδάλιμον κῆρ] ἐκ τῆς κυδαλίμου καὶ ἐνδόξου ψυχῆς.

10 48 ** [μέρμερα] μερίμνης ἄξια. ** [ἄλλ' ἴθι νῦν] πρεπόντως—κρίσιν ποιούμενος.

10 55 [ὀτρυνέω] διὰ παρακλήσεως παρορμῶ. ** ἱερὸν τέλος] ὅτι τοῖς καθεύδουσιν—ἴδιον.

10 57 ** [κείνῳ γάρ κε μάλιστα] διὰ δύο—πειθοῦς. ** [πῶς γάρ] πιθανῶς—τὸ «πῶς».

10 62 ** [αὖθι] ἐν τοῖς φύλαξιν—ἐν φυλάκεσσιν» ** [φθέγγεο] τεχνικῶς—πολεμίων.

10 67 ** [ἐγρηγόρθαι] πρὸς τὸ διαμένειν—κυδαίνων.» [μεγαλίζεο θυμῷ] μηδὲ ἐπαίρου τῇ διανοίᾳ δι' ὑπερηφανίαν.

10 70 ** [ἀλλὰ καὶ αὐτοί] πρὸς τὸ πρόθυμον—αὐτουργεῖν. ** [εὖ ἐπιτείλας] ἐπεσημήνατο—στρατηγικῶς.

10 75 ** [εὐνῇ ἐνὶ μαλακῇ] οὐδὲ ταῦτα ἐᾷ—γέροντι. [ἔντεα] ὅπλα, παρὰ τὸ ἐντὸς αὐτῶν εἶναι τὸν φοροῦντα. [ἐπεὶ οὐ μὲν ἐπέτραπε γήραϊ λυγρῷ] ἐπεὶ ἡ πολλὴ αὐτοῦ προθυμία οὐδὲ τῷ γήρᾳ ἄνεσιν ἐδίδου, τουτέστιν οὐδὲ ὑπὸ τοῦ γήρως ἐνικᾶτο.

10 79 ἀφαιρεῖ τὰς προφάσεις—προθυμία. [ἐπέτραπε] λείπει τὸ ἑαυτόν. ** εἰς τὸ ἀγκῶνος ἡ διαστολή —ἐπαείρας. [5]

10 82 ** [τίς δ' οὗτος] τετάρακται μὲν—τοῦτο ποιεῖ. [ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι] ἄλλοι εὕδουσιν, οὗτοι δὲ— ἀγρυπνοῦσιν.

10 84 [οὐρήων] ἢ τῶν φυλασσόντων. ἐκ τοῦ ὁρῶ, τὸ φυλάσσω. ** [φθέγγεο] ταρασσόμενος—ἔφοδον.

10 87 [ὦ Νέστορ Νηληϊάδη] ὃ προσέταξε τῷ Μενελάῳ, τοῦτο πράσσει πατρόθεν ἐκ γενεῆς 〈αὐτὸν〉 ὀνομάζων. ὃ προσέταξε—καλῶν. ** ἅμα τῇ ἐκφωνήσει—παρατιθείς.

10 89-90 [εἰσόκ' ἀϋτμὴ—ὀρώρῃ] ἕως οὗ ἡ πνοὴ, ὅ ἐστιν ἡ ζωή, καὶ τὰ γόνατά μου ἰσχύει καὶ ἔρρωται. [πλάζομαι] ἤγουν οὐδὲν—τοῖς πράγμασι τοῖς παροῦσιν.

10 91 ** [ὧδε] «ὧδε» μόνος—δηλοῖ. [ἀλαλύκτημαι] φαντασία τις—καρδίας.

10 96 [εἴ τι δραίνεις] ἐπινοεῖς, δρᾶσαι δύνασαι. ** [οὐδέ σέ γ' ὕπνος ἱκάνει] ἵνα μὴ—γέροντι [ἀδηκότες] ὑπὸ τοῦ κόπου ἀναιδῶς διακείμενοι, ὀκνήσαντες.

10 100 ** περισσὸν τὸ τί—ἔλθωσιν. ** [οὔ θην Ἕκτορι πάντα] αἱ γὰρ ἄκραι—γίνοιτο.

10 105 [νυν] «σῶσόν νυν αὐτὸν μηδ' ἔρα τῶν πλησίον» (Eurip. Hécube 996). τὸ νῦν ἐνταῦθα πληρωματικόν. [ποτὶ δὲ] ἤτοι σὺν τούτοις δέ.

10 108 ** [ἐγείρομεν] καλῶς—ὀργῆς. [Αἴαντα ταχὺν] τὸν Ὀϊλέως—Αἴας.

10 114 ** [ἀλλὰ φίλον περ ἐόντα] χαρίεν—μέμφεται. ** [ἄλλοτε μέν σε] οὐχ ὡς συκοφαντοῦντι—ἐκέρασεν.

10 120 [ἄλλοτε] ἐν ἄλλῳ καιρῷ. ** [οὔτ' ὄκνῳ εἴκων] φιλαδέλφως—ἄνοια.

10 122bis [οὔτ' ἀφραδίῃσι νόοιο] ὅ ἐστιν· οὔτε ἀσύνετός ἐστιν. [περονήσατο] πόρπῃ συνέλαβεν, ἐνεπορπώσατο.

10 133bis [φοινικόεσσαν] πυρρὰν τῷ χρώματι. [διπλῆν, ἐκταδίην] τὴν μεγάλην—ἐκτεταμένην.

10 135 [ἄλκιμον] ἢ πρὸς τὸ ἀλέξασθαι πεποιημένον. [ἀτάλαντον] τὸ α κατ' ἐπίτασιν.

10 139 [περὶ φρένας ἤλυθ' ἰωή] ᾔσθετο, οἱονεὶ ἤκουσε τῆς φωνῆς. [ἐλήλατο] ἐπεπήγει, ἵστατο εἰς τὴν γῆν.

10 155 [ἀγραύλοιο] τοῦ ἐν ἀγρῷ αὐλιζομένου. [λὰξ] εὐτόνως τῷ μεγάλῳ δακτύλῳ—ἄντην».

10 159 [ὕπνον ἀωτεῖς] ἀπανθίζεις τὸν ὕπνον, ἐκ δὲ τούτου καθεύδεις. ἐπὶ θρωσμῷ πεδίοιο] τόπος ἐστὶν ὑψηλὸς—τάσσοιντο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

10 164 [σχέτλιος] δεινὸς ἢ σχετλιασμοῦ ἄξιος, 〈ἢ〉 καρτερικώτατος. [ἀμήχανος] πρὸς ὃν μηχανὴν οὐκ ἔστιν εὑρεῖν, ἢ κακοπίαστος, καὶ πρὸς πάντα ἕτοιμος.

10 183 [δυσωρήσωσιν] δυσφυλακτήσωσιν, κακὴν φυλακὴν καὶ νύκτα διαγάγωσιν. [θηρὸς] ἢ λέοντος.

10 197 [συμμητιάασθαι] κοινῇ γνώμῃ σκέψασθαι. [τάφρον .

10 198 ... ὀρυκτὴν] τὸ δυσδιάβατον τοῦ ὀρύγματος. ἑῷ αὐτοῦ] τῷ ἰδίῳ θυμῷ.

10 204 Ὅμηρος δὲ—παραλαμβάνει. [ἤ τινά που—πύθοιτο] ἤγουν λάβοι τινὰ κατασκοπὴν τῶν Τρώων.

10 207 ἢ τινά που καὶ φήμην] εἰώθασιν—ἐπετείχισαν τὴν Δεκέλειαν. [ὑπουράνιον] ἕως εἰς 〈οὐρανὸν〉 , οὐρανοῦ ἐξικνούμενον.

10 216 [ὑπόρρηνον] ῥῆνες γὰρ οἱ ἄρνες. [εἰλαπίνῃσι] εἴρηται παρὰ τὸ ἔλασσον ἅζεσθαι τοὺς εὐωχοῦντας, ὅ ἐστι ταράσσεσθαι.

10 224 [σύν τε δύ’ ἐρχομένων] συνερχομένων δύο ὁμοῦ καὶ κοινῶς ὁ ἕτερος πρὸ τοῦ ἑτέρου ἐπενόησέ τι κοινωφελὲς καὶ συμφέρον. [ἕταρόν γ’ αἱρήσεαι] συνεργὸν ἐπιλέξαι, ἀκόλουθον πρὸς τὸ συνεργεῖν προσλαβοῦ.

10 242 εἰ θέλετε, ἐπιλέξασθέ με. [ἐκ πυρὸς αἰθομένοιο] ἀντὶ τοῦ αἴθοντος καὶ καίοντος, ὅ ἐστιν ἐκ τοῦ φανεροῦ.

10 249 μήτ’ ἄρ με μάλ’ αἴνεε] δῆλός ἐστιν ὁ ποιητὴς—τοῦ ποιητοῦ ἢ τοῦτο. ζητεῖται δὲ πῶς—τύχῃ. ῥέξαντας μέγα ἔργον] μεγάλην—τὸ φονεῦσαι τὸν Ἕκτορα.

10 287 [Ἀσωπῷ] ποταμὸς τῆς Βοιωτίας. ἂμ φόνον ἂν νέκυας] διὰ τοῦ φόνου καὶ τῶν νεκρῶν.

10 298 [διά τ’ ἔντεα καὶ μέλαν αἷμα] διὰ τῶν ἐντέων καὶ μέλανος αἵματος. ἐριαύχενας] μεγαλοτραχήλους· τὸ ἔρι γὰρ—λαβεῖν.

10 307 ἐκ παραλλήλου. [ἀδηκότες] τεταλαιπωρηκότες ἢ ἀηδῶς διακείμενοι.

10 314 ἦν δὲ—Δόλων] διὰ τί κήρυκος 〈καὶ〉 πλούσιον εἴρηκε —ἐπ’ ἐλπίδι τοῦ φυγεῖν τοὺς διώκοντας. [ἦν δέ τις] διηγηματικὸν τὸ σχῆμα. ἀντὶ τοῦ μόνος ἦν ἄρρην.

10 324 [οὐδ’ ἀπὸ δόξης] ὑπόληψις. ** [Ἀγαμεμνονέην] συστολή.

10 334 πολιοῖο λύκοιο] λευκοῦ λύκου διὰ τὴν—Νηλέα. κρατὶ δ’ ἐπ’ ἰκτιδέην] ἐξ ἰκτίδος δέρματος πεποιημένην.

10 335 ἰκτὶς δὲ—εἶπον. σημείωσαι· ἐπὶ κτιδέην] ἀπὸ τοῦ κ —ἀρκεῖ γὰρ τὸ τίς. [οὐδ’ ἄρ’ ἔμελλεν] προανάληψις.

10 339 [ἐφράσατο] εἶδεν· κατάχρησις ὁ τρόπος. [τυτθόν] μικρόν.

10 345 κυρίως δὲ ἡ λέξις τίθεται ἐπὶ τῶν βρεφῶν, οἱονεὶ τιτθίον. [παραφθαίησι πόδεσσι] φθάσῃ τῇ ταχύτητι τῶν ποδῶν, ἐπὶ οὖρα] ὅρια.

10 351 Ἀρίσταρχος—ἐδίωξαν. [προφερέστεραι] ταχύτεραι, ἤγουν ἐν τῷ ἀροτριᾶν.

10 353 [νειοῖο] νειὸς δέ ἐστιν—γῆ. πηκτὸν ἄροτρον] τὸ τὸν γύην—πηκτόν.» [πάλιν Ἕκτορος ὀτρύναντος] εἰς ὀπίσω καλέσαντος.

10 360 [καρχαρόδοντε] ἐπικαμπεῖς ὀδόντας ἔχοντες, ἢ ταχεῖς· κάρχαρον γὰρ τὸ ταχύ. [κεμάδα] νεογνὸν ἔλαφον, ἢ δορκάδα.

10 364 [λαοῦ ἀποτμήξαντε διώκετον] τοῦ Τρωϊκοῦ ὄχλου χωρίσαντες —ἐλάφυσσον. [πολύκμητος] ἢ ὁ εἰς πολλὰ κατεσκευασμένος.

10 394 [θοὴν] ὀξυτάτην, τὴν ταχέως ἐπιλαμβανομένην. [ἀλεγεινοὶ] ἀλγεῖν παρέχοντες, ἢ πρὸς τὸ κτήσασθαι ἀδύνατοι.

10 415

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[βουλὰς βουλεύει] τὸ σχῆμα παρονομασία. [Ἴλου] ὁ δὲ Ἶλος Τρωὸς παῖς, ἀφ’ οὗ Ἴλιος ἐκλήθη. ἐσχάραι] πυραί.

10 418 δηλοῖ δὲ—λεγομένην. [δίειπε] ἀκριβῶς διασάφει.

10 428 [πρὸς μὲν ἁλὸς Κᾶρες] ληπτέον τὸ ἔλαχον διατελεῖν. Παίονες] ἔθνος—Παννονίους. Λέλεγες] ἔθνος—οἰκοῦντας.

10 429 Καύκωνες] ἔθνος—λεγομένους Καυνίους εἶπον. Πελασγοί] οἱ τὸν παράλιον—Τράλλεις. [πρὸς Θύμβρης] πρὸς τὸ Θυμβραῖον—ἐπιφανές.

10 430 ἀγέρωχοι] σημείωσαι πόσα σημαίνει ἀγέρωχος· αὐθάδης, θρασύς, ἔστι δὲ ὅτε δηλοῖ ἡ λέξις καὶ τοὺς ἄγαν ἀνδρείους καὶ ἰταμοὺς, παρὰ τὸ ἄγαν αὐτοὺς ἐπὶ τοῦ γέρως ὀχεῖσθαι. ἐν δέ σφιν—βασιλεύς] Ῥῆσος μὲν γένει— ἔσται εἰς τὸ παντελές.

10 435 ἐν δέ σφιν Ῥῆσος] ὅσοι ἐκ Μουσῶν τίκτονται—Πολυμνίας 〈Τριπτόλεμοσ〉. [λευκότεροι χιόνος] τὸ σχῆμα ὑπερβολή.

10 437bis λευκότεροι χιόνος] τοῦτο καλεῖται ὑπερβολή· ὁ γὰρ νοῦς· λευκότεροι μὲν χιόνος τῇ χροιᾷ, τῷ δὲ τάχει ἴσοι τοῖς ἀνέμοις. ἰστέον δὲ ὅτι ἐμείωσε—ταχυτέρους. ἄλλως· δύο ὑπερβολὰς—ἀπέφηνεν. ἐπαινετέον δὲ ὅτι κατ’ αἰτιατικὴν δυνάμενος εἰπεῖν· «λευκοτέρους χιόνος θείειν δ’ ἀνέμοισιν ὁμοίους»· καὶ γὰρ ὣς ἐπέτρεπε τὸ μέτρον· μετεμόρφωσε τὸν λόγον θαυμαστικῶς ἀναφωνήσας τὸν ἔπαινον αὐτῶν. [πελώρια] οὐ κατὰ τὸ μέγεθος—τεράστια. [5]

10 457 [φθεγγομένου] τὸ στόμα—πληγήν. [παλίντονα] εἰς τοὐπίσω ἑλκόμενα.

10 459 [δόρυ] ὃ ἀνωτέρω (v. 335) «ἄκοντα» εἶπεν. [ἐπιβωσόμεθα] ἐπὶ βοήθειαν—ἐπιδωσόμεθα.

10 466 [μυρίκην] μυρίκη θαμνῶδες φυτόν. [δέελον] εὔγνωστον, εὔδηλον. [δόνακας] ἀπὸ τοῦ δονεῖσθαι.

10 475 [ἐξ ἐπιδιφριάδος] ἐκ τοῦ ἐσχάτου μέρους τοῦ ἁρματείου δίφρου, τῆς περιφερείας, ὃ καὶ ἄντυξ καλεῖται. [ἐπιστροφάδην] ἐνεργῶς, εὐτόνως, ἢ ἄλλοτε εἰς ἄλλον ἐπιστρεφόμενος σπουδαίως.

10 496 [κακὸν γὰρ ὄναρ] ὁ Διομήδης ἐπέστη αὐτῷ ὅτι νυκτὸς καθεύδοντα αὐτὸν ἀνεῖλεν. [Οἰνείδαο πάϊς] ὁ Διομήδης Οἰνέως ἔγγονος· Τυδεὺς γὰρ Οἰνέως ἦν υἱός.

10 500 [φαεινὴν] τὴν φανερῶς κειμένην. [ῥοίζησε] ἀνάρθρως—λέγομεν.

10 511 [ἄλλος] ὁ ἡμῖν ἐναντίος. [ἐπέτοντο] ἔτρεχον καθ’ ὑπερβολήν· [ἀλαοσκοπιὴν] ματαίαν σκοπιὰν, ὅ ἐστιν οὐκ ἔλαθεν αὐτόν.

10 516 [ἕπουσαν] ἑπομένην, ἢ συνεργοῦσαν. [θυνόντων ἄμυδις] ἢ εἰς τὸν αὐτὸν τόπον τρεχόντων.

10 524 [θηεῦντο] ἢ μετὰ θαύματος ἐθεώρουν. [ἔναρα] περιεκτικῶς τὰ τόξα καὶ τὸ δόρυ.

10 528 κυρίως δὲ «ἔναρα» λέγονται ὅσα ἤραρε καὶ συνήρμοσται· θώραξ καὶ κυνέη καὶ κνημῖδες. κτύπον ἄϊε] πρῶτος τοῦ ψόφου τῶν ποδῶν τῶν ἵππων ᾔσθετο ἀγωνιῶν διὰ τὸ αὐτὸν εἰσηγητὴν γεγονέναι τῆς κατασκοπῆς.

10 532 ὡς οὖν 〈γνώμην〉 δοὺς εἰς τὸ ἐκπεμφθῆναι τοὺς ἄνδρας, οὐ μόνον ἠγωνία περὶ αὐτῶν, ἀλλὰ καὶ τῇ ψυχῇ συνεπεδήμει αὐτοῖς. ἄν τε ψεύδεσθαι, φησὶν, ἐνῇ, ἄν τε ἀληθεύειν με, ὅμως ἀπαγγελῶ καὶ λέξω διὰ τὸ προθυμεῖσθαι.

10 535 ἀντὶ τοῦ ἵππων ψόφου ἀκούω. πῶς δὲ, φησὶ, ιδʹ φονεύσας τρισκαιδέκατον λέγει Δόλωνα; ῥητέον οὖν ὅτι Ὅμηρος ἀεὶ τοὺς βασιλεῖς τῶν στρατιωτῶν χωρίζει κατ’ ἐξοχήν· ἔθει οὖν κεχώρισται κατ’ ἀριθμὸν ὁ Ῥῆσος, ὡς ἐπὶ τοῦ «Ζεὺς δ’ ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα».

10 561 (Il. XIII. 1.) [ἱδρῶ] ἀποκοπή.

10 574

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ θυσίας σαφῶς λέγει, περὶ ἧς ἐσιώπησεν. [σφιν] ἀντὶ τοῦ σφέων, ὅ ἐστιν αὐτῶν. [πολέμοιο τέρας] οἱ μὲν περιφραστικῶς τὸν πόλεμον, οἱ δὲ ἀστραπὴν, οἱ δὲ τὸ ξίφος, οἱ δὲ τὸ δόρυ, οἱ δὲ Ἶριν.

11 11 [ὄρθια] ὀρθῶς, ἀνατεταμένως, μεγάλως [ζώννυσθαι] συνεκδοχικῶς ἀπὸ μέρους.

11 24-28 ἔκφρασις θώρακος. [ἀμφιβρότην] ἀμφοτέρωθεν τὸν ἄνθρωπον σκεπάζουσαν.

11 32bis θοῦριν] ἤτοι πολεμικὴν, ἢ εὐκίνητον καὶ κούφην τῷ φοροῦντι. ἀμφιστεφέες] ἐξ ἑνὸς στόματος τοῦ δράκοντος τρεῖς ἐπεφύκεσαν κεφαλαὶ ἀλλήλαις συμπεπλεγμέναι.

11 51 [φθὰν δὲ μέγ’ ἱππήων—κοσμηθέντες] τινὲς ὑπερβατὸν —συντάττεται. [ὀλίγον μετεκίαθον] μετ’ αὐτοὺς ἦλθον, ἢ μετ’ ὀλίγον ἐκεῖ ἐπορεύοντο.

11 53-54 ἐζήτηται πῶς—ἔπεμπον. [κεφαλὰς] γράφεται «ψυχάς».

11 63 [σκιόεντα] σκιὰν—τὸν ἀέρα. ** ὄγμον] ἀπὸ τοῦ ἄγομαι, τὸ φέρομαι.

11 72 [ἴσας δὲ ὑσμίνῃ] κατὰ μίαν εὐθεῖαν—ἡ μάχη. [δρυτόμος] δρῦν ἐκάλουν οἱ παλαιοὶ πᾶν δένδρον ἀπὸ τοῦ ἀρχαιοτάτου.

11 100 [ἐπεὶ περίδυσε χιτῶνας] ἐπειδὴ, φησὶ—κατέλιπεν. [ὥ] δυϊκῶς.

11 110 [τοΐν] δυϊκῶς. [γουναζέσθην] τῶν γονάτων ἥπτοντο ἱκετεύοντες.

11 140 [ἀγγελίην] δύο δὲ σημαίνει ἀγγελία· 〈τὸ ἄγγελμα〉 , ὡς ἐν τῷ —ἀντιθέῳ Ὀδυσῆι.» [ὅλμον δὲ ὣς] ὅλμου δὲ—κυλίεσθαι.

11 150 [ὄλεκον] τὸ ο μικρὸν διὰ τὸ μέτρον. χαλκῷ δηϊόωντες] ἤτοι τοῖς ἐπισσώτροις—ἐτίτρωσκον.

11 156 [θάμνοι] οἱ σύμφυτοι τόποι—φυτά. [πρόρριζοι πίπτουσιν] μέχρι τῶν ῥιζῶν· τῶν γὰρ κάτω γῆς τὸ πῦρ οὐχ ἅπτεται.

11 157 [πυρὸς ὁρμῇ] τῷ πυρὶ περιφραστικῶς. [κάρηνα] ἀπὸ μέρους ἄνθρωποι.

11 158 οἱ δὲ ἀκρωτήρια. [κονίης] τοῦ ἐν τῷ πολέμῳ κονιορτοῦ.

11 174 [αἰπὺς] ὑψηλός, ἐξ οὗ μέγας. ποδήνεμος] ἴση ἀνέμοις κατὰ τὸ τάχος.

11 218 ** ἐπιφώνημα πρὸς τὰς Μούσας. [γήμας δ’ ἐκ θαλάμοιο] ἀντὶ τοῦ γεγαμημένος νεωστί.

11 227 [μετὰ κλέος ἵκετ’ Ἀχαιῶν] μετὰ τὴν ἀκοὴν—Τροίᾳ. [λίπε νῆας ἐΐσας] ἐθαλασσοκράτουν—Ἑλλησπόντου.

11 233 [Ἀτρείδης μὲν ἥμαρτε] σημείωσαι· ἀπέτυχε—ἀφεὶς νικᾶται. [ἧς οὔτι χάριν ἴδε] παρ’ ἧς οὐδὲν—ἐγένετο.

11 256 [ἀνεμοτρεφὲς] ἄλλως· 〈τὸ κοῦφον〉 καὶ εὐκίνητον— δένδρα στερεά. Ἰφιδάμαντι] ὡς ἐπιξήνῳ—τὰ κρέα.

11 267 [ἐτέρσετο] ἐξηραίνετο—νοτίδος. [βέλος ὀξὺ] ἡ σφοδρὰ ὀδύνη, οἷον ἡ τιτρώσκουσα.

11 270 [μογοστόκοι] αἱ τοὺς μόγους κουφίζουσαι τῶν τικτουσῶν. [Εἰλείθυιαι] θεαὶ τῶν τικτουσῶν ἔφοροι, Διὸς καὶ Ἥρας θυγατέρες. [ἄφρεον] ἄλλως· ἀφροῦ ἐπληροῦντο, ἵδρουν.

11 293 ἀγροτέρῳ συΐ] ἀγρίῳ—σύαγρος. [ὑπεραέϊ] ἀπὸ ὕψους καὶ ὑπὲρ ἡμᾶς φερομένη.

11 297 ** τῇ ὑπεράνωθεν πνεούσῃ. [ἰοειδέα] μέλανα διὰ τὸ βάθος.

11 299 διαπόρησις τὸ σχῆμα. ἀργεστᾶο Νότοιο] τοῦ λευκοτάτου ἢ τοῦ ταχέος· ὁ γὰρ Ὅμηρος δ’ ἀνέμους μόνους οἶδεν.

11 306 λαίλαπι] τῷ μετὰ ὄμβρου ἀνέμῳ. ἔργα γένοντο] ἀρχαϊκώτερον—ῥήματα.

11 326 [παλινορμένω] ἐκ τῆς φυγῆς—ὁρμήσαντες. [ἀνέρε δήμου ἀρίστω] ἤγουν δημότας ἀρίστους.

11 329

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Περκωσίου] ἀπὸ Περκώτης, πόλεως Ἑλλησπόντου. Κῆρες γὰρ ἄγον] ἰσχυροτέρα γὰρ ἡ Μοῖρα τῆς μαντικῆς.

11 351 πλάγχθη] ὑπὸ τοῦ τῆς περικεφαλαίας—δόρυ. αὐλῶπις] τὸν ἐπ' αὐτῇ λόφον—περόναι.

11 353 [Φοῖβος Ἀπόλλων] διὰ τὸ λαμπρὸν τῶν ὅπλων τὸν ἥλιον λέγει. [μετὰ δούρατος ᾤχετ' ἐρωήν] ὥστε ἀνελέσθαι αὐτὸ τὴν μάχην ἀπὸ τοῦ παρακολουθοῦντος.

11 366 [ἐστι] ἢ «ἔλθοι». [τοξότα λωβητήρ] διὰ τόξων λωβώμενε καὶ βλάπτων, ἐξ οὗ δειλέ.

11 385 ἄλλως· κέρᾳ ἀγλαὲ] καλλωπιζόμενε τῇ τοξικῇ ἢ τῇ τριχώσει· κέρας γὰρ οἱ παλαιοὶ καὶ τὴν τρίχωσιν ἐκάλουν. [παρθενοπῖπα] γυναικομανές, ἢ γυναικιζόμενε, ἐπὶ γυναιξὶ μαινόμενε. κωφὸν] ἀμβλὺ ὂν εἰς ἀλγηδόνα. [5]

11 395 περὶ πλέες] περὶ αὐτὸν πλείονες· ἄμεινον—εὔηθες. ἠθοποιΐα.

11 413 [μετὰ σφίσι πῆμα τιθέντες] ἐπὶ τῷ ἰδίῳ κακῷ περιφράξαντες. ἐκ τριῶν μερῶν τοῦ λόγου ὅλος ὁ στίχος.

11 427 Gen. II ajoute: εὐηγενέος δὲ εὐγενοῦς. [πολύαινε] ἢ μυθολόγε, φλύαρε.

11 430 (au—dessus de la paraphrase πολλῶν ἐπαίνων ἄξιε.) [πάντα δ' ἀπὸ πλευρῶν χρόα ἔργαθεν] ὅλην τὴν ἐπιφάνειαν αὐτοῦ τῶν πλευρῶν εἶρξεν καὶ ἐχώρισε τῶν βελῶν.

11 437 ἢ ὅτι οὐκ ἐποίησεν εἰς βάθος καιρίαν αὐτὸν πληγῆναι. ** [γνῶ δ'] ἀλλ' ἔκρινεν ἑαυτόν.

11 445 [κλυτοπώλῳ] τῷ ἰσχυροὺς—δύναται. τὸ ὑπὸ Σώκου ἀκοντισθὲν δόρυ ἐνέκειτο τῇ τοῦ Ὀδυσσέως πλευρᾷ.

11 468 [ἀποτμήξαντες] ἀποχωρισθέντες τοῦ οἰκείου στρατοῦ. θῶες] πανθήρια—Τρῶες.

11 476 [τὸν μέν τ' ἤλυξε πόδεσσιν] ἐξέφυγε τὸν βαλόντα κυνηγέτην. νέμεϊ] τῷ συνδένδρῳ τόπῳ.

11 480 [λῖν] τὸ πλῆρες λῖνα, ὅ ἐστι λέοντα Δωρικῶς. [πολέμοιο δυσηχέος] τοῦ κακὸν ἦχον ἀποτελοῦντος.

11 529 [κακὴν ἔριδα προβαλόντες] φιλονείκως ἐρίσαντες. λιγυρῇ] λιγεῖς καὶ ὀξεῖς τοὺς ἵππους ποιούσῃ κατὰ τὸν δρόμον, ἤτοι ὀξὺν ἦχον ἀποτελούσῃ.

11 534 [στείβοντες] πατοῦντες—λέγεται. [μίνυνθα δὲ χάζετο δουρός] ὀλίγον ὑπεχώρει, ἵνα εὐκόλως τῷ δόρατι χρῷτο.

11 548 ὡς δ' αἴθωνα λέοντα] διὰ τί ὁτὲ μὲν λέοντι παραβάλλει τὸν Αἴαντα, ὁτὲ δὲ ὄνῳ; ὅτι αἱ μὲν παραβολαὶ—δεδήλωκεν. [δεταὶ] λαμπάδες, δᾷδες, παρὰ τὸ δαίεσθαι, ὅ ἐστι καίεσθαι.

11 558 [παῖδας] τὰ μικρὰ παιδία νῦν. [ῥόπαλα] ξύλα ἀπὸ τοῦ ῥαπίζειν ἢ τῇ ῥοπῇ ὅ ἐστι—τὸ γενναῖον.

11 560 [κείρει] κόπτει τοῖς ὀδοῦσιν. μεταφορά. ὁ λόγος· πάνυ τοὺς Τρῶας ἐπὶ τὰς ναῦς ὁρμῶντας Αἴας ἀντιτασσόμενος ἐκώλυεν.

11 601 [ἰῶκά τε δακρυόεσσαν] ἰωκήν, καταδίωξιν, ὅ ἐστι τὴν φυγὴν, πολλῶν δακρύων αἰτίαν καὶ λυπῶν. ἄλλ' ἴθι νῦν Πάτροκλε] διὰ τί τὸν Πάτροκλον— ἐξάγειν.

11 635 [νεμέθοντο] νεμομέναις, τούτεστι ζώσαις, ἐῴκεισαν αἱ πέλειαι. [οὐχ ἕδος ἐστὶ] οὐκ ἔστι καιρὸς —καθέδρα νῦν.

11 674 ὅτ' ἐγὼ κτάνον Ἰτυμονῆα] Νηλεὺς—ἡ ἱστορία παρὰ Φερεκύδῃ. Ἤλιδι δίῃ] θαυμαστῇ, ἱερᾷ—Πελοποννήσου.

11 688 [Ἐπειοὶ] ἀπὸ Ἐπειοῦ βασιλέως—Ἀριστοτέλης ἐν τῷ πέπλῳ. βίη Ἡρακλείη] Ἡρακλῆς παρεγένετο εἰς Πύλον— ὡς καὶ ἐν τῇ Ε φησίν.

11 693 οἷος λιπόμην] τὸν Νέστορα—ὥς τινές φασιν. ἀτεμβόμενος κίοι ἴσης] ὅπως μηδεὶς—ἴσον ἐχούσης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

11 711 [Θρυόεσσα] ἢ Θρύος. ἐστὶ πόλις μεταξὺ Ἤλιδος καὶ Πύλου· ταύτην ἐν τῷ καταλόγῳ Θρύον εἶπεν. [Ἀλφειοῖο] ποταμὸς μεταξὺ Ἤλιδος καὶ Πύλου.

11 739 [Μούλιον] ὄνομα κύριον. ἣ τόσα φάρμακα ᾔδη] Μηδεία ἐγένετο—παρὰ Κράτητι.

11 749 [ὀδὰξ ἕλον οὖδας] τοῖς ὀδοῦσι τὴν γῆν ἔδακον θνήσκοντες. [δι’ ἀσπιδέος] ἤτοι ἐπιμήκους καὶ λαμπροῦ, ἢ πλατέος, ἢ περιφεροῦς, ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος.

11 760 [ὄφρ’ ἐπὶ Βουπρασίου] Βουπράσιον καὶ Ἀλείσιον πόλεις τῆς Ἤλιδος—μεγίστη. [μετακλαύσεσθαι] ὕστερον ἀπολομένων ὄχλων μεταμελήσεσθαι [γενεῇ μὲν ὑπέρτερος] τῷ τοῦ γένους ἀξιώματι κρείσσων, ἢ βέλτιστος.

11 807 ἵνα σφ’ ἀγορή τε θέμις τε] 〈ὅπου αὐτοῖς τὰ δικαστήρια〉 ἐγίνετο καὶ τὰ ὤνια ἐπιπράσκετο. [τῇ δὲ καί] ὅπου καὶ τῶν πλευσάντων—ἦσαν.

11 832 δικαιότατος Κενταύρων] τὸ ὑπερθετικὸν—πίσσα. ἐζήτηται δὲ καὶ τοῦτο, ὁποία ἦν ὅλως ἡ ῥίζα ᾗ αὐτὸν κατέπασσε καὶ .

11 846 .... βάλε πικρὴν] ἐπέπασσεν. πρὸς δὲ τοὺς ζητοῦντας πόθεν εἶχε τὴν ῥίζαν ὁ Πάτροκλος ἔστι λέγειν ὅτι κατὰ τὸ σιωπώμενον μεταπέμπεται αὐτήν· ἡ γὰρ ἀρχαία ἰατρικὴ βοτανικὴ ἦν. ἤτοι εἰκὸς αὐτὸν ὡς ἰατρὸν ἐπιφέρεσθαι πρὸς τὰς ἐπικαίρους χρείας. ἢ ὅτι ἐκ τοῦ πεδίου ἀνείλετο αὐτήν. καὶ τεῖχος ὕπερθεν] πλάσας—εἶπεν. [5]

12 5–6 [ἀμφὶ δὲ τάφρον ἤλασαν] πέριξ δὲ τοῦ τείχους τὴν τάφρον ὤρυξαν. προαναφώνησις ταῦτα· λεληθότως γὰρ λέγει τὴν πόρθησιν τῆς Ἰλίου.

12 18 [ποταμῶν μένος] περιφραστικῶς ποταμούς. [βοάγρια] τὰ τῶν βοῶν ἀγρεύματα, τουτέστι τὰς ἐκ βοῶν κατεσκευασμένας ἀσπίδας.

12 23 [ἡμιθέων] ἄλλως· οἱ ἕνα θεὸν—ἄνθρωπον. ἐννῆμαρ] ἔνιοι δὲ—φανῆναι.

12 28 [θεμείλια] Ἰὰς ἡ διάλεκτος. ἀγάρροον] ἄγαν ῥοώδη, ὅ ἐστι σφοδρὰ ῥεύματα ἔχοντα.

12 37 Διὸς μάστιγι] τῇ Διός—κεκακωμένοι. «μάστιγι» δὲ 〈τῷ〉 κεραυνῷ. βαλλόμενα] ἤτοι τὰ ἐπὶ τοὺς πύργους ἀκοντιζόμενα ἢ τὰ ἐνῳκοδομημένα τοῖς πύργοις ξύλα ἤχει τοῖς δόρασι βαλλόμενα. χρεμέτιζον] ἰδιάζουσαν φωνὴν ἐπετέλουν.

12 52 [ἀπὸ γὰρ δειδίσσετο τάφρος] ἢ φόβον ἦγεν. [τρώσεσθαι] ἢ ἡττήσεσθαι· τρῶμα γὰρ ἡ ἧττα.

12 71 [παλίωξις] πάλιν δίωξις. οὕτως δὲ καλεῖται ἡ τῶν διωκόντων φυγή. τῶν δ’ ἑτέρων Πάρις ἦρχε] 〈Πάριν〉 κατὰ γαστρὸς ἔχουσα —πολέμου ἐπελθόντος.

12 103 [διακριδὸν εἶναι ἄριστοι] ὡς διακεκρίσθαι—πᾶσιν. τυκτῇσι βόεσσι] λέγει δὲ ταῖς ἀσπίσιν—βοῦν ἀζαλέην.

12 105 » δυσώνυμος] ἢ κακὸν ὄνομα ἔχουσα τὸν θάνατον.

12 117 Δευκαλίδαο] Δευκαλίωνος παῖς. γίνονται δὲ ἐκ Πύρρας καὶ Δευκαλίωνος, ὥς φησιν Ἀπολλόδωρος, παῖδες Ἕλλην μὲν πρῶτος, ὃν ἐκ Διὸς ἔνιοι γεγενῆσθαι λέγουσι, δεύτερος δὲ ὁ Ἀμφικτύων, ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Ἀττικῆς, θυγάτηρ δὲ Πρωτογένεια. (Apollod. Bibl. I. 7. 3. 7.) ** [ὑψικάρηνοι] ὑψηλὰς κεφαλὰς ἔχουσαι, τουτέστι κορυφάς. [5]

12 141 εἵως] πρὶν ἐλθεῖν τοὺς βαρβάρους. ἐκ παραλλήλου τὸ αὐτό.

12 167 [μέσον αἰόλοι] ποικίλοι τὰ μέσα—εὐκινήτους. [παιπαλοέσσῃ] τῇ πολλὰς ἐκτομὰς ἐχούσῃ, τῇ τραχείᾳ Λαπίθαι] ἥρωες Ἀχαιοί, οἱ ἀπὸ Λαπίθου τοῦ Ἀπόλλωνος καὶ Στίλβης νύμφης τὸ γένος ἔχοντες.

12 201 [ὑψιπέτης] τῷ δὲ τόνῳ—πεπτωκώς. ἐπ’ ἀριστερὰ λαὸν ἐέργων] ὑποχωρῆσαι—Θέτιδι. ἐέργων] ἀφορίζων, ὥστε φαίνεσθαι μέσον αὐτῶν. [αἰόλον ὄφιν] πέπονθεν ἐπὶ τέλους—μειουρός.

12 208

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ὑποκρίναιτο] ἀντὶ τοῦ ἀποκρίναιτο ἐξηγούμενος τὸ σημεῖον. θεοπρόπος] ὁ ἐκ θείας ἐπινοίας μαντευόμενος, ὁ χρησμολόγος, νῦν δὲ 〈ὁ〉 οἰωνιστής. [ὃς] ἢ οὗ. [εἰδείη τεράων] ἐπιστήμων εἴη παρατηρήσεως σημείων. [5]

12 231 Πουλυδάμα] Ἡρακλέους—γεννηθῆναι. [εἴτ' ἐπὶ δεξιά] δεξιὰ τὰ ἀνατολικὰ καλεῖ, ἀριστερὰ δὲ τὰ δυτικά.

12 239 [ἐπὶ δεξιὰ] ἢ πρὸς τὸν ἥλιον, εἰς τὴν ἀνατολήν. γνώμη ἀποφαντική.

12 247 [μενεδήϊος] μένων τοὺς πολεμίους ἐν τῇ μάχῃ, πολεμικός. [ἐπάλξεις] τοὺς προμαχῶνας τῶν τειχῶν.

12 259 [στήλας] ὀρθοὺς λίθους—προκαταβεβλῆσθαι. προβοῶν τε] ἔμπροσθε—παρακολουθοῦντος.

12 280 [τὰ κῆλα] τὰ αὐτοῦ σημεῖα, ἢ βέλη ἃ ἐπιπέμπει κατὰ χόλον. βέλος δὲ νῦν εἴρηκε τὸν χειμῶνα. [θαμειαί] πυκναὶ λίθοι.

12 287 θηλυκῶς δὲ εἶπεν. εἰ μὴ ἄρ' υἱὸν Σαρπηδόνα] Εὐρώπην—Ῥαδάμανθυν.

12 292 ἱστορεῖ Ἡσίοδος καὶ Βακχυλίδης. [ἕλιξιν] μέλασιν—πορείᾳ.

12 296 ἐπεὶ τῶν πτυχῶν—αὐτὰς χρυσαῖς ῥάβδοις. δούρασι] δόρασιν.

12 303 ἀπὸ ὀνομαστικῆς δὲ τοῦ δόρυ ἡ γενικὴ δουρός, ἀπὸ δὲ τοῦ δόρατος 〈δούρατι〉 καὶ δούρασι πληθυντικῶς. [καυστείρης] ἐμπύρου, θερμῆς, διὰ τὸ θερμὸν τῶν ἀγωνιζομένων.

12 337 [οὔ πώς οἱ ἔην] οὐδέπω ἦν αὐτῷ δυνατόν. [σὺν δ' ὀστέ' ἄραξε] συνέτριψε δὲ τὰ ὀστᾶ αὐτοῦ, τὸ σῶμα συνεκδοχικῶς.

12 385 ἀρνευτῆρι] κυβιστῇ ἢ δύτῃ, παρὰ τοὺς ἄρνας· καὶ οὗτοι γὰρ ἐπὶ κεφαλὴν ἑαυτοὺς ῥίπτουσιν ἢ κυβιστῶσιν, ὥσπερ τὸν ἀέρα κυρίττοντες. τινὲς δὲ τῷ δελφῖνι· οἱ γὰρ ἄρσενες ἐπὶ κεφαλὴν ἵενται, ὅταν ἡ γαλήνη γένηται. [ὁμαρτήσαντε] ὁμοῦ τε καὶ ὑπὸ τὸν αὐτὸν καιρὸν ἀφέντες τὰ δόρατα, ἐπιτυχόντες.

12 415 [ἐκαρτύναντο] ἰσχυροποίησαν, γενναίως συνετάξαντο. ἐπιξύνῳ] ἐπικοίνῳ καὶ ὁμόρῳ χωρίῳ.

12 426 λαισήϊα] μικρὰ ἀσπιδίσκια. οἱ δὲ ὅπλου εἶδος ἐπτερωμένου καὶ κούφου. [χερνῆτις] ἡ ἀπὸ τῶν ἔργων—ἐργαζομένη.

12 436 [ἶσα μάχη τέτατο] ἰσόρροπος καὶ ὁμοία ἦν ἡ μάχη αὐτοῖς [κροσσάων] ὑποτρόχων—ἐπιτηδείων.

12 456 [ἐπημοιβοὶ] ἐπ' ἀμοιβαῖς, ἀλλήλοις ἐπικείμενοι, εἷς ἐφ' ἕνα. [ἐρεισάμενος] μετὰ πολλῆς δυνάμεως ἐπερεισθείς.

12 458 [ἀφαυρότερον] ἀσθενές. ἔστι δὲ ὑπερθετικὸν ἀντὶ ἀπολύτου. νυκτὶ θοῇ] ἤτοι—ἡμῶν.

12 463 ** [ὑπώπια] τὴν πρόσοψιν. ἀπὸ μέρος τὸ ὅλον. ἐσέχυντο] εἰσῆλθον.

12 470 τροπικῶς ἀπὸ τῶν ὑδάτων. [ἐφόβηθεν] εἰς φυγὴν ἐτράπησαν. [φαεινώ] παρεχόμενοι τὸ φῶς ἢ στιλπνοί.

13 4 [πόνον] τὴν κατὰ τὸν πόλεμον ταλαιπωρίαν. [ἀγχεμάχων] ἐκ τοῦ συστάδην ἢ ἐκ τοῦ πλησίον μαχομένων.

13 6 [γλακτοφάγων] ἀρκούμενοι γάλακτι καὶ λιτῇ διαίτῃ. * [Ἀβίων] βιοῖς μὴ χρωμένων, ὅ ἐστι τόξοις.

13 6bis ἢ τὸ α κατ' ἐπίτασιν, ἵν' ᾖ πολυβίων καὶ πολυετῶν, ἢ τὸν ἡμέρον—μὴ βιαζομένων. ἔστι καὶ ἔθνος Ἄβιοι, οἱ ἁμαξόβιοι καὶ εὐδαίμονες ..... Σκυθίᾳ ὀνομαζόμενοι. Gen II. ajoute ἢ νομάδες au—dessus de εὐδαίμονες. [οὐδ' ἀλαοσκοπιὴν εἶχε] ματαίαν τὴν κατασκοπὴν, ὅ ἐστιν ἐπιμελῶς ἐσκόπει· ἀλαὸς γὰρ—τυφλός. [5]

13 20 ἐζήτηται διὰ τί—κινδυνεύσῃ. [χρυσέῃσιν] χρυσῷ κεκοσμημέναις ἢ καλαῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

13 24 ἔθειραι δὲ εἴρηνται παρὰ τὸ—εἴρεσθαι, ὅ ἐστι συμπλέκεσθαι. [κευθμῶν] ἐκ τῶν ἀδύτων ἢ φωλεῶν.

13 31 [ἐΰσκαρθμοι] εὐσκάριστοι—ὁ πούς. αὐΐαχοι] ἀντὶ τοῦ ἀνιάχοι· τοῦ γὰρ ν ἐξαιρεθέντος ὑπεισῆλθε τὸ υ , ὡς καὶ ὅτε τὸ ἀγανοί ἀγαυοί.

13 41 Χρύσιππος δὲ ὁ Στωϊκὸς καὶ Διόνυσος ὁ Θρᾷξ δασύνουσι—ξηρόφωνοι. [ἄβρομοι, αὐρίαχοι] πολύβρομοι, πολύηχοι, ἢ ξηρόφωνοι· ἑκάστοτε 〈γὰρ〉 —παρίστησιν. * [σκηπανίῳ] παρὰ τὸ σκηρίπτεσθαι, ὅ ἐστιν ἐπερείδεσθαι. [5]

13 88 * [ὑπ’ ὀφρύσι δάκρυα λεῖβον] ἔσταζον, ἐδάκρυον· οἱ γὰρ ὀφθαλμοὶ—ἔκλαιον. [μετεισάμενος] πρὸς αὐτοὺς—μεταβληθείς.

13 98 [νῦν δὴ εἴδεται ἦμαρ] νῦν ἀνεφάνη—ἀναιρεθήσεσθε. [ἤϊα] βρώματα, οὐ τὰ ἐν οἴκῳ—ἐν ὁδῷ.

13 115 [ἀλλ’ ἀκεώμεθα θᾶσσον] ἀλλὰ θεραπεύσωμεν διὰ τάχους τὸ γεγονὸς ἁμάρτημα. * [ἀκεσταί] εὐθεράπευτοι εὐΐατοι.

13 115bis ὁ δὲ λόγος· αἱ δὲ 〈τῶν〉 ἀγαθῶν—θεραπευτικαί. * [λαοσσόος] ἢ τοὺς λαοὺς ἢ—σώζουσα.

13 130 [προθελύμνῳ] Ἀνδρόμαχος—θηλυμανεῖν. * [ἐπτύσσοντο] εἰς τὸ αὐτὸ συνήγετο καὶ ἐκάμπτετο κραδαινόμενα.

13 136 * [προὔτυψαν] προενέβαλλον, προσέκρουσαν. * [ὀλοοίτροχος] λίθος περιφερὴς καὶ στρογγύλος — ὀλοὸς, τουτέστι ὀλέθριος, ἐπεὶ καταφερόμενος—βλάπτει.

13 137 Cf ADT. * [κατὰ στεφάνης] περικεφαλαίας—πέτρας.

13 139 * [ἀσχέτῳ] γράφεται «ἀσπέτῳ», πολλῷ. [ἔχματα πέτρης] ἐρείσματα ὑποκείμενα αὐτῇ.

13 140 * [ὕψι τ’ ἀναθρώσκων πέτεται] ἐφ’ ὕψους ἀναβαλλόμενος καὶ ἀναπηδῶν ταχέως φέρεται. [ἐσσύμενός περ] καίπερ ὁρμῇ πολλῇ χρώμενος.

13 143 [ἀπείλει] ἠπείλει, ὑπισχνεῖτο, ὁτὲ δὲ τὸ καυχᾶται καὶ ἐπιπλήσσει δηλοῖ. [πυκινῇς—φάλαγξι] ταῖς πυκναῖς ἐνέτυχεν τάξεσιν.

13 147 * [ἀμφιγύοισιν] ἑκατέρωθεν ἠκονημένοις καὶ βλάπτειν δυναμένοις. [Δάρδανοι] 〈οἱ ἐν Δαρδανίᾳ〉 πόλει τῆς Τροίας οἰκοῦντες.

13 152 [πυργηδὸν] δίκην καὶ ἐν τάξει πύργου. ὑπ’ ἀσπίδια προποδίζων] ὑπὸ τῇ ἀσπίδι ἠρέμα 〈καὶ〉 εὐρύθμως —ἀσπίδα οὐδὲ ὅπλα, ἐπεὶ ἂν αὐτὴν ἐκράτει.

13 158bis * [ὑπασπίδια προποδίζων] μετέωρα καὶ ὑψηλὰ καὶ ἐπ’ ἄκρων τῶν ποδῶν—οἱονεὶ ἀκροβηματίζων. * [καυλῷ] τῷ ἄκρῳ τοῦ δόρατος, τῷ ἐμβαλλομένῳ εἰς τὴν ἐπιδορατίδα.

13 165 ἐλυπήθη—δόρυ. [οἰσόμενος] διαφέρει τὸ οἴσων καὶ τὸ οἰσόμενος· οἴσω μὲν γὰρ ἑτέρῳ· «οἶσε θέειον, γρηΰ, κακῶν ἄκος» (Od.

13 168 XXII, 481) «οἴσετε δ’ ἄρνα λευκόν» (Il. III, 103), οἰσόμενος δὲ ἑαυτῷ. [μελίη] εἶδος δένδρου.

13 180 [τέρενα] τρυφερὰ—εἰρηκέναι. [καρχαροδόντων] ἐπικαμπεῖς ὀδόντας ἐχόντων.

13 199 [ῥωπήϊα] ἱμαντώδη φυτὰ δένδρων. [σφαιρηδὸν ἑλιξάμενος] δίκην σφαίρας ἐπιστραφεὶς.

13 217 [Πλευρῶνι—Καλυδῶνι] ἀντὶ τοῦ Πλευρῶνος καὶ Καλυδῶνος. εἰσὶ δὲ πόλεις Αἰτωλίας. ἐλλείπει τὸ εἰσίν.

13 219 ἔπειτα ἀπὸ ἄλλης διανοίας· «οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν». [ἐπιστάμεθα] ἐμπείρως ἔχομεν, δυνάμεθα.

13 228 * [μενεδήϊος] ὑπομονητικὸς ἐν τῇ μάχῃ. * [μέλπηθρα] ἐμπαίγματα, παίγνια· εἰώθασι γὰρ οἱ κύνες κορεσθέντες ἐμπαίζειν τοῖς λειψάνοις, λέων δὲ τὸ πᾶν ἐσθίει καὶ Κύκλωψ· «ἤσθιε δ’ ὥστε λέων».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

13 233 (Od. IX, 291.) * [συμφερτή] συμφόρητος.

13 237 τὸ δὲ ὅλον καὶ ἡ τῶν δειλῶν— γεννᾷ. [συμφερτή] οὐδεμίαν πρόφασιν λείπει τοῖς ἀνδρείοις· εἴγε καὶ δειλοὶ ἀλλήλοισι συνελθόντες ἐνάρετα δρῶσι, καὶ μάλα γε λυγρῶν ἀνδρῶν συμφερτὴ γίνεται ἀρετὴ, πόσῳ μᾶλλον ὄντες ἀγαθοὶ ἡμεῖς δυνάμεθα μάχεσθαι; [νῶϊ δὲ] . [5]

13 238 .. ἐπιστάμεθα γὰρ τὸ δυνάμεθα. [μετὰ .

13 247 ... ᾔει] ἀπῄει γὰρ δόρυ κομίσων. [ἦέ τε βέβληαι] ἢ τέτρωσαι μέρος τοῦ σώματος.

13 252 [ἠέ τευ ἀγγελίης] ἢ περί τινος ἀγγελίας πρὸς ἐμὲ παραγέγονας. [ἀλλ’ οὐ σχεδόν ἐστιν ἑλέσθαι] ἀλλ’ οὐκέτι μοι ἐγγὺς ὥστε λαβεῖν.

13 274 [τί σε χρὴ ταῦτα λέγεσθαι;] οἷον οὐ χρή σε περὶ τούτων λέγειν τι. * [ἄλλυδις ἄλλῃ] ἀπὸ ἄλλου εἰς ἄλλο κατάστημα.

13 281 [μετοκλάζει] μετακαθίζει—μετακαθίζων. * [πατάσσει] κτυπεῖ ἢ—παλμῷ ἀπὸ τοῦ πολλοῦ φόβου.

13 286 εὔχεται ὁ γενναῖος ἀνὴρ τὴν ταχίστην συμβαλεῖν τοῖς πολεμίοις. οὐδ’ ἂν ἐνταῦθά τις καταμέμψαιτό σου τὴν δύναμιν καὶ τὴν προθυμίαν.

13 287 * [ὄνοιτο] περὶ τοῦ ὄνοιτο ἢ ὄναιτο .... * [τυπείης] ἐκ χειρὸς τρωθείης.

13 291 * [μετὰ προμάχων ὀαριστύν] ἐπὶ τὴν ὁμιλίαν καὶ τὴν συναναστροφήν. [μέγα πτολέμοιο μεμηλώς] τοῦ πολέμου ἐπιμέλειαν καὶ φροντίδα ποιούμενος.

13 300 [ταλάφρονα] ὑπομονητικὸν φρόνημα ἔχοντα, ἀνδρεῖον. μετὰ Φλεγύας] Φλεγύαι Γόρτυναν—τοῦ Ἀπόλλωνος, ὡς ἱστορεῖ Φερεκύδης.

13 315 * [ἄδην ἐλόωσιν] εἰς κόρον ἐλῶσιν, ὅ ἐστι πολέμου κορεσθῆναι ποιήσωσιν. [ἔδοι] ἄλλως· τὸν σίτον—γίνεται.

13 334 [λιγέων] τῶν κατὰ τὸν ἦχον ὀξέων. * [ἔφριξεν] ἐπυκνώθη ἡ μάχη τῇ τῶν δοράτων ἀνατάσει· φρίσσειν γὰρ τὸ ὀρθοῦσθαι.

13 340 [ταμεσίχροας] παρὰ τὸ ταμῶ ῥῆμα, οὗ ὁ μέλλων ταμέσω. * [ταμεσίχροας] τμητικὰς χρωτός. * [ἄμερδεν] ἐστέρισκε καὶ ἠμαύρου. ἐκ τοῦ αὐτοῦ πατρὸς γένεσις ἡ πατρίς.

13 354bis [ἤδ’ ἴα] ἵνα ᾖ καὶ μόνη. * [ἐπαλλάξαντες] ἐπιπλέξαντες τὰς χεῖρας, οἱονεὶ δήσαντες.

13 360 [ἄλυτον] ἀντὶ τοῦ δύσλυτον. * [μεσαιπόλιος] ὁ ῥαντοπόλιος.

13 361 * [μεσαιπόλιος] ὁ λεγόμενος—ὡς μεσῆλιξ. * [ἔνδον ἐόντα] τὸ μὲν λεξικὸν ἐνδεδημηκότα, ἐμοὶ δὲ δοκεῖ ἔνδον ὄντα τοῦ δεσμοῦ τοῦ παρὰ τοῦ Διὸς γεγονότος καὶ Ποσειδῶνος.

13 364 [μετὰ κλέος εἰσεληλούθει] ἐπὶ τὴν τῶν θεῶν δόξαν παρεγεγόνει. [ἀνάεδνον] ἄνευ 〈τῶν〉 πρὸ γάμου διδομένων δώρων.

13 388 [λαιμὸν ὑπ’ ἀνθερεῶνα] κατὰ τὸν λαιμὸν ὑποκάτω τοῦ γενείου. [διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν] διήλασε δὲ τὸν σίδηρον διόλου, τουτέστι διεπέρασεν. [ἀχερωΐς] παρὰ τὸ ἐκ τοῦ Ἀχέροντος ποταμοῦ κομισθῆναι —αὐτὴν ἐπὶ τῇ τοῦ Κερβέρου νίκῃ.

13 390 [βλωθρή] μακρά—βαίνειν, ἢ εὐαυξής. [βεβρυχὼς] σπώμενος—τοὺς ὀδόντας τρίζειν.

13 393 * [βεβρυχὼς] βρυχώμενος καὶ συντρίβων τοὺς ὀδόντας. * [ἀλύξας] ἔκφρων ἐγένετο καὶ ἔκνους ὁ ἡνίοχος.

13 399 ψυχορραγῶν ἀπὸ εὐκατασκευάστου ἐξέπεσεν ἅρματος. οὗτος ἐξ ἐναντίας ἐξέκλινε τὸ σιδηροῦν δόρυ.

13 407 * [δινωτήν] εὖ περιδεδινημένην, κυκλοτερῆ, στρεπτήν. [καρφαλέον] ὅθεν καὶ κάρφος, τὸ ξηρὸν καὶ λεῖον ξύλον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

13 409 [ἐπιθρέξαντος] ἐπιψαύσαντος ἢ ἐπελθόντος. [ὑπὸ πραπίδων] καθ’ ὃ μέρος αἱ φρένες εἰσίν.

13 415 * [πυλάρταο κρατεροῖο] τοῦ τὰς πύλας ἰσχυρῶς ἐφαρμόζοντος. πάντων γὰρ ὁμηλίκων τῷ κάλλει διέφερεν.

13 435 * [θέλξας] μετά τινος ἀπάτης βλάψας, ἀπατήσας, ἀμαυρώσας. * [ἐρεικόμενος] σχιζόμενος, διακοπτόμενος τὸ ὄπιθεν μέρος.

13 442 [δούπησεν] ἐψόφησεν, ἀπέθανεν, ἐκ τοῦ παρακολουθοῦντος. * [οὐρίαχον] τὸν σαυρωτῆρα—φασιν.

13 446 * [εἴσκομεν] δοκοῦμέν σοι ἀξίως καὶ δεόντως αὐχεῖν. [ἐπίουρον] ἐπίσκοπον καὶ φύλακα.

13 450 τῷ τόνῳ ἀναγνωστέον προπαροξυτόνως ὡς ἐπίκουρον. [ἑταρίσσαιτο] ἑταῖρον καὶ συνεργὸν λάβοι.

13 464 [κῆδος] συγγένεια, ὁτὲ δὲ λύπη. * [οἰοπόλῳ] ἐν ᾧ αἱ ὄϊες, ἢ ἐν ᾧ οἶός τις καὶ μόνος πωλεῖται, ἐξ οὗ δηλονότι τῷ ἐρήμῳ.

13 473 φρίσσει] ἤγουν ἵστησιν. νῶτον] χαίτην. βοῇ θοὸν] ἐν μάχῃ ἀνδρεῖον· βοὴν γὰρ καὶ τὴν μάχην ἐκάλουν ἀπὸ τοῦ παρεπομένου.

13 484 * [ἥβης ἄνθος] τὸ ἀκρότατον τῆς ἀκμῆς. [ὁμηλικίη] ἀντὶ τοῦ ὁμήλικες.

13 487 [ἕνα φρεσὶ θυμὸν ἔχοντες] ἓν καὶ τὸ αὐτὸ φρονοῦντες. [ἐκ βοτάνης] ἀντὶ τοῦ μετὰ τὴν βοτάνην καὶ νομήν.

13 508 * [ἤφυσε] διήντλησε δὲ καὶ διέκοψε τὰ ἔντερα αὐτοῦ τὸ δόρυ. [τρέσσαι] μετὰ δέους φυγεῖν.

13 517 * [δὴ γὰρ—αἰεί] ἐπιμόνως γὰρ αὐτῷ ὠργίζετο. [βριήπυος] μέγα καὶ βαρὺ βοῶν.

13 521 παρὰ τὸ ἠπύειν, ὅ ἐστι φωνεῖν. [πρυμνοῖο] τοῦ ἐσχάτου, ἔχοντος ἀπὸ τῆς ἐκφύσεως τὴν ἀρχὴν ἐπὶ τὸν νῶτον.

13 534 * [περὶ μέσσω χεῖρε τιτήνας] περὶ τὰ μέσα αὐτοῦ τὰς δύο χεῖρας διατείνας καὶ συλλαβών. * [ἐπὶ δ’ ἀσπὶς ἐάφθη] ἐπικατήφθη δὲ αὐτῷ ἡ ἀσπίς, τουτέστι ἐπικατηνέχθη.

13 543 παρὰ τὸ ἕπεσθαι. [ἀπὸ—ἔκερσεν] ὅλην τὴν νωτιαίαν φλέβα ἔτεμεν.

13 563 * [μεγήρας] φθονήσας τοῦ βίου, ὅ ἐστι τῆς ζωῆς. * [ἔνθα μάλιστα—ἀλεγεινός] ὅπου ἀλγεινοτάτη καὶ δεινοτάτη γίνεται ἡ τρῶσις.

13 569 ὅπου μάλιστα ἡ τρώσις γίνεται ἀλγεινή. * [σχόμενος περὶ δουρὶ] κατασχεθεὶς καὶ περιπαρεὶς τῷ δόρατι.

13 572 [ἰλλάσιν] τοῖς ἐξ ἱμάντων πεπλεγμένοις δεσμοῖς. [πτυόφιν] πτύον—παραγωγή.

13 590 [πνοιῇ ὑπὸ λιγυρῇ] ὀξέως πνεούσῃ αὔρᾳ. [ἐϋστρόφῳ οἰὸς ἀώτῳ] τουτέστιν ἐρεᾷ σφενδόνῃ· «οἰὸς» γὰρ «ἀώτῳ», προβάτου ἄνθει, ὅ ἐστιν ἐρίῳ.

13 612 * [πελέκκῳ] τῷ τοῦ πελέκεός φησιν στειλειῷ, παρὰ τὸ πελεκᾶσθαι. περὶ οὖν τῷ ἐλαΐνῳ στειλειῷ. [ἅμα δ’ ἀλλήλων ἐφίκοντο] ὑπὸ δὲ τὸ αὐτὸ ἔτυχον ἀλλήλοις.

13 616 [τὼ δέ οἱ ὄσσε] τὸ δὲ ὑγρὸν—αἵματος. [οὐκ ἐπιδευεῖς] οὐκ ἐνδεεῖς, ἀλλὰ πλήρεις ἐστέ.

13 627 * [φιλέεσθε παρ’ αὐτῇ] φιλοφροσύνης καὶ ξενίας ἐτύχετε. * [ἀλλά ποθι σχήσεσθε] ἀλλ’ ἐφέξεσθε δήπου, ἢ ἀλλά ποθι πόρρωθεν κρατηθήσεσθε.

13 630 ἔστι δὲ σύνδεσμος πληρωματικός. * [περὶ φρένας ἔμμεναι ἄλλων] φρονήματι διαφέρειν τῶν ἄλλων.

13 632 [σέο—πέλονται] ἐκ σοῦ δὲ πάντα ταῦτα γίνονται. [ἐξ ἔρον εἶναι] προέσθαι τὴν ἐπιθυμίαν, κορεσθῆναι.

13 669 [θῳήν] τὴν—ἐπιζήμιον. * [πρὸς—ἄμυνεν] προσεβοήθησε δὲ αὐτὸς τῇ δυνάμει αὐτοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

13 685 [Ἰάονες] Ἴωνες. λέγει δὲ τοὺς Ἀθηναίους—Ἕλληνος. [ἑλκεχίτωνες] βαθεῖς χιτῶνας ἔχοντες, εὔζωστοι. [Φθῖοι] οἱ τὴν ὑπὸ Πρωτεσιλάῳ Φθίαν, πόλιν Θεσσαλίαν, οἰκοῦντες.

13 686 οἱ δὲ τὴν ὑπὸ Ἀχιλλεῖ Φθιῶται καλοῦνται. [φαιδιμόεντες] ἐπιφανεῖς καὶ λαμπροὶ ταῖς πράξεσιν. [ἣν ἔχ' Ὀϊλεύς] ἣν ἐγεγαμήκει ὁ Ὀϊλεύς.

13 703 [οἴνοπε] ἤτοι μέλανες ἢ ξανθοί. [πρυμνοῖσιν κεράεσσι] τοῖς ἐσχάτοις μέρεσι τῶν κεράτων.

13 713 οὐ γὰρ ὑπέμενον τὴν συστάδην μάχην. [παραρητοῖσι] παραινετικοῖς, παραμυθητικοῖς.

13 729 ἅμα] νῦν ἐπίρρημα χρόνου δηλωτικόν. * [μάλιστα—ἀνέγνω] ἐξαιρέτως καὶ αὐτὸς ἀνέγνω τὸ τῆς συνέσεως ἀγαθόν.

13 736 πανταχόθεν γάρ σε περιεκυκλώσαντο οἱ πολέμιοι ἐμπείρως. μὴ τὸ χθιζὸν ἀποτίσωνται] μήπως —παραπλήσια.

13 761 [τοὺς δ' εὗρ' οὐκέτι πάμπαν] συλληπτικῶς πέφρακεν ἀντὶ τοῦ· τούτους μὲν οὐκ ἀπήμονας τοὺς τετρωμένους, τοὺς δὲ οὐκ ἀνολέθρους τοὺς ἀνῃρημένους. [βεβλημένοι οὐτάμενοί τε] ἄλλως· ἀντὶ τοῦ οἱ μὲν ἀπὸ μήκους —τοιούτῳ.

13 773 [νῦν—ὄλεθρος] νῦν οὐδὲν ἐλλείπει σοι πρὸς ἀπώλειαν. * [ἦλθον ἀμοιβοί] ἤτοι 〈οἱ〉 ἐξ ἀμοιβῆς—ἔφοδος * [φαληριόωντα] λευκανθίζοντα, τουτέστι λευκαινόμενα ὑπὸ ἀφροῦ.

13 798 * [πρὸ μὲν—ἐπ' ἄλλα] ἄλλα πρὸ ἄλλων, τουτέστιν ἐπάλληλα, πυκνά. [σείετο] ἀντὶ τοῦ σφοδρῶς ἐνεργοῦντος.

13 819 [ἰρήκων] ἱεράκων. ἔστι δὲ εἶδος ἀετοῦ. * [ἁμαρτοεπὲς] ἁμαρτάνων τοῦ σκοποῦ τῶν λόγων.

13 824bis * [βουγάϊε] μεγάλως ἐπὶ σεαυτῷ ἀγλαϊζόμενος καὶ γαυριῶν, ἢ βουεργέτα. [ἔμπης] ὅμως.

14 1 σημαίνει δὲ καὶ ὅλως [ὅπως ἔσται] ἀντὶ τοῦ ὅπως γενήσεται.

14 3 τὸ «ἔσται» διαφέρει τοῦ γενήσεται· τὸ μὲν—παῖς». * [βρότον] τὸν μολυσμὸν τοῦ ἀνθρωπίνου αἵματος.

14 8 * [εἴσομαι] πορεύσομαι 〈ἢ〉 γνώσομαι ἢ φανήσομαι. [εἰς περιωπήν] εἰς ὑψηλὸν τόπον, ἐξ οὗ περιοπτεῦσαι 〈ἔστιν〉 καὶ περιβλέψαι. [ἐρέριπτο] κατεβέβλητο, κατήριπτο.

14 15 ἔστι δὲ ῥῆμα— ἐρέριπτο. * [πορφύρῃ] μελαίνηται καὶ ταράσσηται.

14 16 [κωφῷ] τῷ δίχα ἀνέμου ἐπαιρομένῳ, τῷ ἀψόφῳ καὶ μηδένα ἦχον ἀποτελοῦντι. * [κωφῷ] μηδέπω γὰρ ἀνέμου εὐκρινοῦς ὄντος 〈τὸ〉 κῦμα ἠρεμεῖ. [ὀσσόμενον] ἤτοι προσδεχόμενον ἢ προσημαῖνον.

14 18 [αὔτως] νῦν ἀπράκτως. * [προκυλίνδεται] προσωτέρω κυλίνδεται. [κεκριμένον] ἀφωρισμένον, ἢ στερεὸν καὶ σφοδρόν.

14 19 [ἐκ Διὸς] ἀντὶ τοῦ ἐκ τῶν νεφελῶν. * [δαϊζόμενος κατὰ θυμόν] διχῇ μεριζόμενος—διασκοπούμενος.

14 25 [ἀτειρὴς] ἄτρωτος, οὐ τειρόμενος ὑπὸ Ἄρεος. [στείνοντο] ἐστενοχωροῦντο διὰ τὸ πλῆθος.

14 35 [τῶ ῥα πρόκροσσας ἔρυσαν] διὸ δή. ἄλλην—ἀλλήλαις. [ἠϊόνος στόμα] τὴν ἀρχὴν καὶ τὴν εἰσβολὴν τοῦ αἰγιαλοῦ.

14 36bis * [συνεέργαθον] συνέκλειον καὶ συνεδέσμουν. * [ὀψείοντες] ὀπτικῶς ἔχοντες, θέλοντες ἰδεῖν.

14 50 [βάλλονται ἐμοὶ χόλον] ἀντὶ τοῦ ὀργίζονταί μοι. * [νῆες ὅσαι πρῶται] ἐν τῇ ἀρχῇ αἱ ἄκραι.

14 78 [νὺξ ἀβρότη] ἀμβροσία—ἡ νύξ. * [οὐλόμενε] ὀλεθριώτατε ἢ ὀλέθρου—παρασκευαστικέ.

14 84 [ἀεικελίου] εὐκαταφρονήτου, εὐτελοῦς, κακοῦ. * [σημαίνειν] νῦν ἄρχειν.

14 91 [ὃν οὔ κεν—ἄγοιτο] ὃν οὐκ ἂν εἴποι συνετὸς καὶ σώφρων ἀνήρ. * [ἐπιρρέπῃ] καταρρέπῃ, ἐπήρτηται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

14 99 ἡ μεταφορὰ— σωμάτων. * [ἀπο 〈πα〉 πτανέουσιν] εἰς τὰς ναῦς ἀποβλέψουσιν ἢ ἀλλαχόσε, ὅ ἐστι φεύξονται, ὑποχωρήσουσιν, ἀμελήσουσιν.

14 104 * [καθίκεο—ἐνιπῇ] καθήψω, ἐλύπησας, ἐπιτιμήσει, ἐπιπλήξει. [ἀνὴρ] ἤγουν ὁ συμβουλεύσων.

14 110 [ματεύσομεν] ματαιοπραγήσομεν. ἢ ἀντὶ τοῦ ζητήσομεν. [κότῳ ἀγάσησθε] μετ’ ὀργῆς, φθόνου, μέμψησθε.

14 114 * [ὃν Θήβῃσι—κάλυψεν] ὃς ἐν Θήβαις ἐτελεύτησεν, ἐν Θηβαικῷ πολέμῳ. [χυτὴ … γαῖα] ἐπιχεομένη τοῖς τεθνεῶσι γῆ. * [πλαγχθείς] ἀποπλανηθεὶς—φυγήν.

14 121 * [ἔγημε θυγατρῶν] προσληπτέον τὸ μίαν, τὴν Δηϊπύλην. Gen III. ajoute καὶ τὸ ἀπό. * [ὄρχατοι] αἱ ἐπὶ στίχον φυτεῖαι, κῆποι.

14 124 * [κέκαστο] ἐκεκόσμητο, ἐνίκα. * [μέλλετ’ ἀκουέμεν] ταῦτα εἰκὸς ὑμᾶς ἀκηκοέναι.

14 130 * [μή πού τις—ἄρηται] μήτις τραυματίας ὑπάρχων τραῦμα ἕτερον λάβῃ. * [ἐνήσομεν] παρορμήσομεν, ἐμβαλοῦμεν τοῖς πολεμίοις.

14 132 * [θυμῷ ἦρα φέροντες] χαριζόμενοι τῇ ψυχῇ τὴν ἀργίαν. [ἀλαοσκοπιὴν] μάταιον καὶ τυφλὸν τὸ σκοπεῖν· ἀλαὸς γὰρ ὁ τυφλός.

14 136 [μετὰ] ἀντὶ τοῦ πρός. [φύζαν] τὴν μετὰ δέους φυγήν.

14 164 [ἧ χροιῇ] τῷ ἰδίῳ αὐτῆς χρωτί. * [ἀμβροσίῃ] θείῳ ἀλείμματι, μύρῳ.

14 170 οἱ δὲ θείῳ λουτρῷ. * [χαλκοβατὲς] χαλκῷ—οὐδόν.

14 178 * [ἕσατο] περιεβάλλετο· ἐνεπορποῦντο γὰρ ταῖς περιβολαῖς. * [ἔξυς’ ἀσκήσασα] νῦν ἀντὶ τοῦ κατεσκεύασεν.

14 179 * λεπτὸν εἰργάσατο μετ’ ἐπιμελείας κατασκευάσασα. * [ἐνετῇσι] περόναις.

14 180 παρὰ τὸ ἐνίεσθαι τοῖς ἱματίοις, ὅ ἐστιν ἐμπορποῦσθαι. * [ἕρματα] νῦν ἐνώτια.

14 184 * [κρηδέμνῳ] κεφαλοδεσμίῳ. νῦν δὲ καλύπτρῳ. [πρέσβα] ἐντιμοτάτη.

14 194 συγκοπὴ τοῦ πρέσβειρα. * [ἀτίταλλον] μετ’ ἐπιμελείας ἀνῆγον, ἐπαιδοτρόφουν.

14 203 * [εὐρύοπα] μεγαλόφθαλμος. παρὰ τὸ ἐποπτεύειν πάντα. * [καί σφ’ ἄκριτα νείκεα λύσω] καὶ τὰς πολλὰς αὐτῶν καὶ ἀδιαλύτους φιλονεικίας διαλύσω.

14 208 * [κείνω] ἐκείνους δυϊκῶς. * [ὁμωθῆναι] ὁμοιωθῆναι, εἰς ὁμόνοιαν ἐλθεῖν.

14 212 * οὔτε πρέπον οὔτε δυνατὸν ἀρνήσασθαι περὶ ὧν ἀξιοῖς. [κεστὸν ἱμάντα] ζωστῆρα, οὕτω καλούμενον—ῥαφαῖς.

14 215 [θελκτήρια] 〈τὰ〉 θέλγοντα, ἀπατῶντα τοὺς ἀνθρώπους. [ἔνι] ἔνεστι τὸ πλῆρες.

14 217 [πύκα] νῦν φρονίμως. [οὐδὲ χθόνα μάρπτε ποδοῖϊν] οὐδὲ τοῖς πόσιν αὐτῆς ἐπέβαινε τῆς γῆς.

14 229 [ἐπὶ πόντον ἐβήσετο] ἀντὶ τοῦ θάλασσαν ἐπέβη. [πόλιν] ἀντὶ τοῦ νῆσον.

14 235 [ἰδέω χάριν] γνώσομαι καὶ προσομολογήσω σοι χάριν. [ἤσει] ἢ «οἷσι», τοῖς ἑαυτοῦ.

14 258 * [καί 〈κε〉 μ’ ἄϊστον] καὶ 〈ἄν〉 με ἀνιστόρητον, ἀφανῆ. * [θοῇ] ἢ ὅτι διὰ τὴν νύκτα—ἢ θείᾳ.

14 261 * [ἀποθύμια ἔρδοι] ἀηδῆ καὶ οὐκ ἀρεστὰ πράξαι. * [ἄ 〈α〉 ατον] ἀβλαβὲς ἢ πολυβλαβές.

14 282 * [ἠέρα] ὀμίχλην ἢ σκότος. Λεκτόν] ἀκρωτήριον—Φαλάκρη.

14 287 [τότε] διὰ τοῦ «τότε» ἀνῄρηκε τὸ ψεῦδος ὥστε μὴ ζητεῖν. [ὡς] νῦν εὐθέως ἢ τότε.

14 319 [καλλισφύρου] καλοὺς πόδας ἐχούσης, ἀπὸ μέρους καλῆς. [τηλεκλειτοῖο] μέχρι πόρρω καὶ πολλοῦ ἐνδόξου, ἢ πάνυ ἐνδόξου.

14 333 [πῶς κ’ ἔοι] πῶς ἂν γένοιτο; τί ἂν εἴη; [ἀθρήσειε] ἴδοι.

14 334 τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ διαδράκοι. * [πεφράδοι] φράσειε, δηλώσειε, εἴποι.

14 349 [ὅς ἀπὸ χθονὸς ὑψός’ ἔεργε] ὃς αὐτοὺς οὐκ εἴα ἐπὶ γῆς— αὐτούς. * [μεθίεμεν] μεθίετε, παραχωρεῖτε τῷ Ἕκτορι 〈τὴν〉 νίκην.

14 364 ταῦτα δὲ καὶ τὰ ἑξῆς κατ’ ἐρώτησιν ἀναγνωστέον. * [παναίθῃσιν] πάνυ στιλπναῖς, λαμπραῖς.

14 381 * [ἄμειβον] νῦν ἤλλασσον. [τῷ δ’ οὐ θέμις ἐστὶ μιγῆναι] τούτῳ δὲ ἀδύνατον ἐναντιωθῆναι.

14 387 [δέος ἰσχάνει ἄνδρας] πεποίηται γὰρ εἰς φόβον, οὐκ εἰς φόνον. [ποτὶ χερσὸν] προσρηγνύμενον τῇ γῇ.

14 402 [Αἴαντος—ἀκόντισε] ἀντὶ τοῦ κατὰ τοῦ Αἴαντος ἔβαλεν. [τώ οἱ ῥυσάσθην τέρενα χρόα] οἵτινες τελαμῶνες ἐφύλαξαν αὐτοῦ τὸ σῶμα.

14 406 [χώσατο] νῦν ἐλυπήθη. [θεείου] θείου.

14 415 προσληπτέον δὲ κεραυνοῦ. [ὀδμὴ] πνοή. ποιότης. [τὸν δ’ οὔπερ ἔχει θράσος] πάντες δὲ αὐτὸ καταπλήσσονται οἱ ἰδόντες.

14 419 * [ἐάφθη] ἐπικατήφθη, ἐπικατηνέχθη. * [οὔτις εὖ ἀκήδεσεν] οὐδεὶς αὐτοῦ ἠμέλησεν, ἠφροντίστησεν.

14 433 [πόρον ἵξον] παρεγένοντο εἰς τὸ διαβατὸν καὶ πορεύσιμον μέρος τοῦ ποταμοῦ. [Ξάνθου δινήεντος] ἰδίως τὸν μὲν σωματικὸν—νάουσιν».

14 436 * [ἀμπνύνθη] ἀνεσωφρόνισε λειποθυμήσας. [βέλος] ἢ ἀπὸ τῆς βολῆς—τόπος.

14 457 * [σκηπτόμενον] σκηριπτόμενον, ἐπερειδόμενον. * [λικριφὶς ἀΐξας] εἰς πλάγια ἀΐξας, ὅ ἐστι ἐγκλίνας.

14 466 [ἀπὸ δ’ ἄμφω κέρσε τένοντε] καὶ ἀπέτεμεν ἀμφότερα τὰ κατατείνοντα αὐτοῦ νεῦρα. * [φράζεο] νῦν ὅρα.

14 471 [Προθοήνορος ἀντὶ] ὁ τρόπος ἀναστροφή. [κακῶν ἔξ] ἀντὶ τοῦ ἐκ κακῶν.

14 479 * [ἰόμωροι] οἱ περὶ τοὺς ἰούς, ὅ ἐστι τὰ βέλη, κακοπαθοῦντες, πολεμικοί. * [ἄρεως ἀλκτῆρα] τοῦ πολέμου ἀλεξητῆρα, βοηθόν, ἢ ὥς τινες φόνου τιμωρόν.

14 493 * [θέμεθλα] ῥίζαι, βάσεις, ἐφ’ ὧν ἥδρασται ὁ ὀφθαλμός. * [διαπρὸ] διαμπάξ, δι’ ὅλου.

14 497 * [ἔλασσεν] νῦν ἀπέτεμεν, ἀπέκοψεν. * [ὅδ’ ἔφη κώδειαν ἀνασχών] λείπει τὸ ὡς, ἵν’ ᾖ ὡς κώδειαν ἀνασχών.

14 504 * [γανύσσεται] ἡσθῇ χαρῇ, γηθήσῃ. * [ἀνδράγρια] ἀνδρῶν ἀγρεύματα, σκῦλα.

15 1 τὸ ἑξῆς· «διέβησαν—ὑπερβατὸν ὁ τρόπος. [Ζεὺς] τὸ παχυμερὲς κατάστημα τοῦ ἀέρος.

15 10 ἄσθματι] ὑπὸ ἄσθματος συνείχετο, ὅ ἐστιν ὑπὸ πολλοῦ πνεύματος καὶ ἀναπνοῆς. * [κῆρ’ ἀπινύσσων] ἐξεστηκὼς τῆς ψυχῆς, οὐ〈κέτι〉 σύνε〈τοσ〉 .

15 10bis .. [ἀμήχανε] πανοῦργος, πρὸς ὃν οὐδὲν δύναταί τις μηχανήσασθαι καὶ ἐπινοῆσαι.

15 14-15 ὄντως δὴ ὁ ἐπὶ κακῷ σοι 〈τε〉 τεχνασμένος δόλος, ὦ Ἥρα, τῆς μάχης ἔοικε τὸν Ἕκτορα πεπαυκέναι. [κακορραφίης] κακοβουλίας, κακοσυνθεσίας.

15 19 * [ἴηλα] περιέβαλον, ἐδέσμευσα. ἀπὸ τοῦ εἰλῶ. [παρασταδόν.

15 22 ὃν δὲ λάβοιμι] ὃν δὲ λάβοιμί σοι παρεστῶτα, ἀντὶ τοῦ· ὃν δὲ ἔλαβον παριστάμενόν σοι. δῆλον ὅτι λέγει τὸν Ἥφαιστον. [ῥίπτασκον] ἔρριπτον.

15 23 παραγωγὴ ὁ τρόπος. * [ὀλιγηπελέων] ὀλιγοδρανέων, ὀλίγον ἰσχύων, ἐξησθενηκώς.

15 46 [τῇ ἴμεν] ταύτην ἔρχεσθαι, ἢ προαίρεσιν καὶ γνώμην ὁμοίαν σοι ἔχειν. [ἶσον ἐμοὶ φρονέουσα] ὁμοία καὶ τὰ αὐτὰ ἐμοὶ φρονοῦσα.

15 52

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[μετὰ σὸν καὶ ἐμὸν κῆρ] ἐπὶ τὸ σοὶ καὶ ἐμοὶ ἀρέσκον. [ἀλλ’ εἰ δή ῥ’ ἐτεόν—ἀγορεύεις] ἀλλ’ ἐὰν δὴ, φησὶν, ἀληθῆ λέγεις.

15 69 παλίωξιν] τὴν ἐξ ὑποστροφῆς τῶν φευγόντων δίωξιν, ὅταν οἱ πρότερον—θαρρήσαντες. σημείωσαι τοῦτο ὅτι—οὗτος.

15 82 [εἴη] ἢ «εἴην». [Θέμιστι] Θέμις μία τῶν Τιτάνων.

15 97 * [πιφαύσκεται] ἐμφανίζει, λέγει, μηχανᾶται. [εὔφρων] ἐν εὐφροσύνῃ καὶ θυμηδίᾳ ὑπάρχων.

15 106 * [ἀφήμενος] ἀποτέρω καὶ πόρρω καθιζόμενος. * [τῷ ἔχετε] διὸ ἀνέχεσθε καὶ ὑπομένετε.

15 113 * [θαλερὼ πεπλήγετο] θάλλουσιν, ἰσχυροῖς δυϊκῶς ἔπληξεν. [πᾶσι περιδδείσασα θεοῖσιν] περὶ πάντων εὐλαβηθεῖσα θεῶν.

15 128 * [ἠλέ] ἀνόητε καὶ μάταιε τὰς φρένας. * [ἦ νύ τοι αὔτως οὔατ’ ἀκούειν ἐστί] ἦ ματαίως πάρεστί σοι τὰ ὦτα πρὸς τὸ ἀκούειν.

15 129 τὰ ὦτα πρὸς τὸ ἀκούειν εἰσὶν, ὁ νοῦς δὲ ἀπώλετο καὶ ἡ ἐντροπὴ, ἢ τὸ αἰδεσθῆναι. * συλλήψεται ἐπὶ τιμωρίᾳ ἐφεξῆς τούς τε αἰτίους καὶ τοὺς ἀναιτίους.

15 152 [Γαργάρῳ] ἀκρωτήριον τῆς Ἴδης. * [θυόεν] τὸ τεθυμιαμένον—τοῦ μύρου τῆς Ἥρας.

15 159 [ἀγγεῖλαι] ἀντὶ τοῦ ἀνάγγειλον. [εἶναι] ἀντὶ τοῦ ἔσο. [ἀγγεῖλαι—εἶναι] ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. [ἀλλ’ ἀλογήσει] ἀλλὰ καταφρονήσει, λόγον οὐ ποιήσεται.

15 170 [νιφὰς] ψακὰς ἢ χιών. [ἐνέροισιν] τοῖς ὑπὸ γῆν νεκροῖς· ἔρα γὰρ ἡ γῆ.

15 190 [πολιὴν] λευκὴν διὰ τὸν ἀφρὸν, ἢ ἁπλῶς λευκήν. [παλλομένων] κλήρῳ μεριζομένων· πάλος γὰρ ὁ κλῆρος.

15 191 [ζόφον] σκότον. λέγει δὲ τὸν κατώτατον τόπον. οἵτινες αὐτοῦ προστάσσοντος ἀναγκαίως πεισθήσονται.

15 203 [στρεπταὶ] εὐμετάτρεπτοι, εὔπιστοι εἰς τὸ ἀγαπῆσαι. * [Ἐριννύες ἕπονται] αἱ ἀπὸ τῶν Ἐριννύων ἐκδικήσεις τοῖς μεταγενεστέροις ἕπονται.

15 209 ἰσόμορον] τῆς ἴσης μερίδος μεθέξοντα, ἰσόμοιρον. [νεμεσσηθεὶς] αἰδεσθείς, ὅ ἐστι μεμπτὸν ἡγησάμενος.

15 221 [χαλκοκορυστὴν] χαλκῷ καθωπλισμένον, τουτέστι πολεμικόν. μάλα γάρ κε] πάνυ γὰρ ἀπόπειραν τῆς ἡμετέρας δυνάμεως ἔλαβον καὶ οἱ περὶ Κρόνον Τιτᾶνες ἐν τῷ Ταρτάρῳ ὄντες.

15 240 ἐσαγείρετο] νῦν ἠθροίζετο. [ἐσαγείρετο θυμόν] συνῆγε τὴν ψυχήν. [ἀμφὶ ἓ γινώσκων] ἄλλως· τοὺς περὶ αὑτὸν γινώσκων, ὅ ἐστιν ἐπιστάμενος τῇ διανοίᾳ.

15 273 [ἠλίβατος] ἢ εἰς ἣν ὁ ἥλιος μόνον ἐπιβαίνει. * [πᾶσι δὲ παραὶ ποσὶ κάππεσε θυμός] τὰς ψυχὰς—εἶχον.

15 305 [πληθὺς] ἐν σχήματι πέφρασται ἀντὶ τοῦ οἱ πολλοί. [ἀμφιδάσειαν] πανταχόθεν—ὄνομα.

15 316 [λιλαιόμενα] ἐφιέμενα, ἐπιθυμοῦντα. ἐν τῇ διὰ μέσου γῇ ἐπήγνυντο τοῦ χρωτὸς ἐπιθυμοῦντα τῶν ἐφ’ οὓς ἐβάλλοντο. [θῆρε] λέοντε κατ’ ἐξοχήν.

15 325 [σημάντορος] ἄρχοντος. νῦν δὲ φύλακος, νομέως. ἐφόβηθεν Ἀχαιοί] οὕτω καὶ οἱ Ἀχαιοὶ εἰς φυγὴν ἐτράπησαν ὑπὸ τοῦ φόβου ὡς ἀσθενεῖς.

15 328 [κεδασθείσης ὑσμίνης] διαλυθείσης, σκορπισθείσης, ἀλλαχοῦ ἄλλου τραπέντος. [νόθος υἱὸς] ὁ μὴ ἐκ νομίμης γυναικός.

15 335 [ἐν Φυλάκῃ] 〈Φυλάκη〉 πόλις Θεσσαλίας. [Μηκιστῆ] ἀντὶ τοῦ Μηκιστέα.

15 340 * [πρώτῃ ἐν ὑσμίνῃ] ἐν τῇ πρώτῃ τάξει, ἐν τοῖς πρωταγωνισταῖς. Πάρις] εἴρηται ὅτι Ἑκάβη—ἡ ἱστορία παρὰ Εὐφορίωνι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

15 343 [ὄφρ’ οἵ τοὺς ἐνάριζον ἀπ’ ἔντεα] ἕως οὗ αὐτοὶ— ὅπλα. [πυρὸς λελάχωσι] τῆς διὰ πυρὸς ταφῆς λαχεῖν ποιήσουσιν.

15 352 [κατωμαδὸν] κατὰ τῶν ὤμων τῶν ἵππων. [ἐρυσάρματας] τοὺς ἕλκοντας τὰ ἅρματα, τοὺς ἱπποζυγίους.

15 356 ὄχθας] κυρίως μὲν τὰ τῶν ποταμῶν χείλη, νῦν δὲ τὰ 〈τῆσ〉 τάφρου. [ἧσι] ἀφῇ, βάδην ἀκοντίσῃ.

15 365 * [ἤϊε] τοξικέ, παρὰ τὴν ἄφεσιν τῶν βελῶν. ἔστι δὲ ἐπίθετον Ἀπόλλωνος. [πολὺν κάματον καὶ ὀϊζύν] τὰς μετὰ καμάτου καὶ ταλαιπωρίας αὐτοῖς γεγονυίας 〈ὄχθασ〉. [ἀράων ἀΐων] νῦν τῶν εὐχῶν ἀκούων.

15 381 [εὐρυπόροιο] εὐρυχώροιο ἐν τῷ πορεύεσθαι. [νηὸς ὑπὲρ τοίχων] ὑπὲρ τοὺς τοίχους τῆς νεώς.

15 389 [ναύμαχα] μακρὰ δόρατα πρὸς ναυμαχίαν ἐπιτήδεια. * [κολλήεντα] ἐκ πολλῶν—σύνθετα καὶ κεκολλημένα. * [κατὰ στόμα εἱμένα χαλκῷ] κατὰ τὸ ἄκρον 〈σε〉 σιδηρωμένα. [κατὰ στόμα] νῦν κατὰ τὴν ἀρχὴν μεταφορικῶς. [ἀγαπήνορος] ἤτοι ἀγαπῶντος τοὺς ἄνδρας ἢ ἀνδρείου.

15 400 * [δὴ γὰρ μέγα νεῖκος] μάλα γὰρ μεγάλη μάχη. * [δόρυ νήϊον] τὸ εἰς ναυπηγίαν ξύλον.

15 412 [εὖ εἰδῇ σοφίης] ἔμπειρος 〈ᾖ〉 τεκτονικῆς. * ἄλλοι δὲ κατὰ ἄλλο μέρος τῶν νεῶν ἐμάχοντο.

15 419 [ἔνθα υἷα Κλυτίοιο] τότε τὸν υἱὸν τοῦ Κλυτίου. Κλύτιος ἀδελφὸς Πριάμου. [Καλήτορα] Καλήτωρ ἀνεψιὸς—ὁμώνυμος. * [στείνεϊ] στενοχωρίαν—πεπυκνωμένη.

15 427 * [σαώσατε] ἀνακομίσατε τῆς μάχης, σώσατε. * [ἐν ἀγῶνι] 〈ἐν τῷ〉 ἀθροίσματι τῶν νεῶν, ἐν ναυσταθμῷ.

15 438 * [Κυθηρόθεν ἔνδον ἐόντα] ἀντὶ τοῦ ἀπὸ Κυθήρων ἑλκόμενον. ἀντὶ τοῦ ἀπὸ Κυθήρων ἐνδεδημηκότα. [ἰοδόκον] ἰοὺς δεχομένην, ὅ ἐστι βέλη.

15 449-451 ἀποστρεφόντων γὰρ τὰ ἅρματα—αὐχένος. [πολύστονος] ὀδυνηρός, πολλῶν αἴτιος στεναγμῶν.

15 463 [ἀμύμονι τόξῳ] ἤτοι κατὰ μετουσίαν—ὑγιεῖ. ἄλλῃ] ἀλλαχόσε καὶ οὐκ ἐπὶ τοῦ Ἕκτορος.

15 467 * [ἐπὶ μήδεα κείρει] τὰ βουλεύματα ἐμποδίζει. * [πρώϊον] ἕωθεν, ὄρθρου, ἢ πρόσφατον * [ἀσπουδεὶ] χωρὶς σπουδῆς ἢ κακοπαθείας.

15 479 * τετραθέλυμνον] τετράπτυχον—ἐπαλλήλους. [βέλεμνα] βέλη ὑποκοριστικῶς.

15 491 * [ὑπέρτερον] ὑπέρτατον, ὑπερέχον, μέγα. * [βλήμενος] ἐκ βολῆς τρωθείς.

15 495 * [τυπεὶς] ἐκ χειρὸς, ἐκ τοῦ σύνεγγυς. * [αὐτοσχεδίῃ] ἐκ τοῦ σύνεγγυς καὶ πλησίον μάχῃ.

15 511 * [ἕνα χρόνον] ἐν μιᾷ ῥοπῇ. * [στρεύγεσθαι] οἷον στραγγίζεσθαι, κατ’ ὀλίγον κινεῖσθαι καὶ ἐκλείπειν, ἢ ταλαιπωρεῖσθαι καὶ κακοπαθεῖν.

15 520 * [ὃ δ’ ὕπαιθα λιάσθη] εἰς πλάγιον ἐξέκλινεν, εἰς τοὔμπροσθεν. [Δόλοψ] ὄνομα κύριον.

15 529 * [ἤρκεσε] ἐβοήθησεν, ἀπέστρεψεν, ἐφύλαξεν. * [γυάλοισιν ἀρηρότα] ἐν ταῖς συναφαῖς τῶν κοιλωμάτων ἐπιμελῶς ἡρμοσμένον.

15 531 ἐξ Ἐφύρης] τῆς ἐν Ἤλιδι—Οἰνόη. * [ἀλεωρήν] φυλακήν, ἀσφάλειαν, ἄδειαν.

15 536 * [κύμβαχον] τὸ κατάκρον τῆς περικεφαλαίας, ᾧ ἐμβάλλεται ὁ λόφος, ὁ λόφος δὲ τὸ ἐπανάστημα. * [νέον φοίνικι φαεινός] νεωστὶ φοινικῷ χρώματι— αἵματι.

15 544 * [ἐεισάσθην] νῦν ἐπῆλθον, ὥρμησαν. * [Περκώτῃ] πόλις—Θρᾴκης.

15 554 * [ἐντρέπεται] ἐπιστρέφεται, οἷον ἐντροπὴν ἐπὶ τὸ βέλτιον λαμβάνει. * [ἀποσταδὸν] ἀφεστῶτες πόρρω, ἐκ διαστήματος.

15 557 * [κατ’ ἄκρης] κατὰ κεφαλῆς, ἀπὸ τῆς ἀκροπόλεως. * [ἕρκεϊ χαλκείῳ] τῷ κύκλῳ τῶν ἀσπίδων, ταῖς ἀσπίσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

15 594 * [θέλγε] ἐγοήτευσεν, ἠπάτησε καὶ—δύναμιν. * [τάρφεσιν ὕλης] οὐκ ἐπιθετικῶς ὡς ὀξέσιν, ἀλλ' ὡς βέλεσιν.

15 606 ἐὰν 〈δ'〉 ἐπιθετικὸν ᾖ, ταρφέσιν ὡς ὀξέσιν. «ταρφέσσιν ὀϊστοῖς». * [πυργηδόν] πυκνῶς καὶ ἀσφαλῶς—πύργων.

15 621 * [τροφόεντα] εὐτραφῆ, μεγάλα καὶ ηὐξημένα. [προσερεύγεται] μετὰ ἤχου φέρεται, πρόεισι. κυρίως ἐπὶ ὕδατος τίθεται ἡ λέξις. * [λαμπόμενος πυρὶ] ὑπὸ τῶν ὅπλων περιλαμπόμενος.

15 625 * [λάβρον] ἀθρόον, συνεχές, πολύ. * [ἡ δέ τε πᾶσα ἄχνῃ ὑπεκρύφθη] ἄχνη δὲ τὸ ἀφρῶδες καὶ χορτῶδες ἀπόβλημα.

15 625-626 * ἡ ναῦς δηλονότι ὑπὸ τῆς ἄχνης ἐσκεπάσθη. * [δεινὸς ἀήτη] ὡς «κλυτὸς Ἀμφιτρίτη».

15 626 οὐ δεῖ γράφειν «ἀήτης.» * [ἀνέμοιο δεινὸς ἀήτη] χαλεπὸν ἀνέμου πνεῦμα. [τυτθὸν γὰρ] βραχὺ γάρ ἐστι—θνήσκουσιν, ἐγγὺς ὄντες τοῦ θανάτου.

15 630 * [ὀλοόφρων] ὀλέθρια καὶ δεινὰ φρονῶν. * [ἐν εἰαμενῇ] ἐν καθύγρῳ καὶ ἀλσώδει χωρίῳ.

15 631 ἕλεος] ἕλους, ὅ ἐστι συμφύτου καὶ ὑγροῦ τόπου. * [χειρὶ] ἢ «θηρί».

15 633 * [ἕλικος] περὶ ἀνῃρημένης—τεθραμμένης. * [ἆλτο] ἐνήλατο καὶ ἐνεπλάκη.

15 645 [ἐν ἀσπίδος ἄντυγι πάλτο] τῷ ἔξωθεν τῆς ἀσπίδος κύκλῳ ἐνεπάλθη, 〈ἢ〉 ἐκλείσθη. * [ποδηνεκέα] μέχρι τῶν ποδῶν διϊκνουμένην, μεγάλην.

15 653 * [εἰσωποὶ δ' ἐγένοντο νεῶν] ἐν ὄψει—ἐγένοντο. [περὶ δ' ἔσχεθον ἄκραι] περιέσχον, περιεκάλυψαν αἱ πρῷραι. [τῶν προτέρων] τῶν πρώτων καὶ ἄκρων.

15 659 [οὖρος] νῦν φύλαξ. * [ὁμοιΐου] τοῦ ὁμοίως πᾶσιν ἐπιόντος, χαλεποῦ.

15 676 * [ἴκρια] καταστρώματα, σανιδώματα. * [κολλητὸν] ἐκ πολλῶν συγκεκολλημένον, ἵνα γένηται μακρόν· οἷον σύνθετον καὶ κεκολλημένον.

15 678 * [βλήτροισι] τοῖς κατὰ τὴν ἁρμονίαν γόμφοις, τοῖς ἐπιούροις. [λαοφόρον] λεωφόρον, δι' ἧς ὁ λεὼς ἔρχεται, ὅ ἐστιν ὄχλος.

15 684 * [ἄλλοτ' ἐπ' ἄλλον] οἷον ἄλλοτε ἐπ' ἄλλον μεθιζάνει. * [κυανοπρώροιο] κυανῷ τὴν πρώραν κεχρισμένης.

15 713 * [μελάνδετα] σιδηρόδετα, ἢ μέλανας τὰς λαβὰς ἔχοντα· ἔστι γὰρ ἡ λαβὴ δεσμός τις τοῦ ξίφους. * [ᾗ κ' ἀμυναίμεσθα] δι' ἧς ἀμυνόμεθα τοὺς πολεμίους.

15 738 * [ἑτεραλκέα δῆμον] τὸν δυνάμενον ὄχλον ἐν μέρει πρὸς τὰ κατεπείγοντα βοηθεῖν τοῖς κατεπτοημένοις. [πόντῳ κεκλιμένοι] περικεκλιμένοι τῇ θαλάττῃ, περισχόμενοι.

15 741 * διὸ καὶ ἐν ταῖς χερσὶν ἡμῶν καὶ ἐν τῷ μάχεσθαι ἡ σωτηρία· οὐ γὰρ ἐν τῷ μειλιχίους ἡμᾶς καὶ πρᾴους εἶναι τοῖς πολεμίοις. * [μαιμώων] μανιωδῶς καὶ ἀκατασχέτως ἐπεδίωκεν, ἐπήρχετο.

15 744 * [χάριν Ἕκτορος ὀτρύναντος] ἐς χάριν τοῦ Ἕκτορος παρορμῶντος. αἰγίλιπος] ὑψηλῆς, ἣν καὶ αἲξ ἀπολείπει διὰ τὸ περισσὸν ὕψος.

16 4 μάλιστα γὰρ ἡ αἲξ ἐν τοῖς κρημνοῖς βόσκεται. * πέπλος—χιτών.

16 9 * [ἐσσυμένην κατερύκει] σπουδάζουσαν αὐτὴν κατέχει. * [τέρεν] νῦν ὑγρόν.

16 16 * ἀμφοτέρων πάνυ ἂν λυπηθείημεν ἀποθανόντων. [κέαται] κεῖνται, ὅ ἐστιν ἀργοί εἰσιν.

16 25 [βέβληται] ἀντὶ τοῦ ἐκ βολῆς τέτρωται. [ἀμήχανος] ἀπροσμηχάνητος, ἀκαμπής, πρὸς ὃν οὐδέν ἐστι μηχανήσασθαι.

16 31 * [αἰναρέτη] ἐπὶ κακῷ κεκτημένος τὴν ἀρετήν. * [τί σευ .... ὀνήσεται] ἐκ σοῦ ὄνησιν ἕξει, ὠφεληθήσεται. [ὀψίγονος] μεταγενέστερος, ὁ μετὰ πολὺν χρόνον ἐσόμενος. [γλαυκή] ἡ γλαυκοειδής.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

16 34 τοῦτο δέ φησι διὰ τὸ τῆς θαλάσσης ἐπικίνδυνον καὶ ἀνηλεὲς καὶ τῶν πετρῶν τὸ σκληρόν. [νόος] ἀντὶ τοῦ ἡ ψυχή.

16 43 ὀλίγη] προσληπτέον τὸ ἐστιν ἀντὶ τοῦ· ὀλίγον καιρὸν ἀναπαύσεως τοῦ πολέμου ἴδωσιν οἱ κεκμηκότες. ὅ τε κράτεϊ] ὁπόταν τῷ κρατεῖν προέχῃ, ὅ ἐστιν ἀξίᾳ τινὶ μείζονι.

16 55 * [τό μοί ἐστιν] διό μοι, ἢ τοῦτό μοι. * [μετανάστην] μέτοικοι δὲ λέγονται οἱ καταλιπόντες τὴν ἰδίαν πόλιν καὶ ἄλλῃ οἰκοῦντες.

16 62 * [μηνιθμόν] μῆνιν—ὁ τρόπος. [τύνη] σύ Δωρικῶς.

16 69 * [Τρώων πόλις] πόλις οὖν οἱ πολῖται· ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. [θάρσυνος] ἀντὶ τοῦ τεθαρρηκυῖα· προσηγορία ἀντὶ μετοχῆς.

16 71 [ἐναύλους] τοὺς διὰ στενοῦ—διώρυχας. διὰ δὲ τούτου προκατασκευάζει ὁ ποιητὴς τὴν παρὰ τῷ ποταμῷ μάχην, τὴν ἐν τῇ Φ. οὐκέτι γὰρ ἀριστεύει κατὰ τὸν πόλεμον ὁ Διομήδης πρὸς τὸ ἀποστρέψαι κακὰ τῶν Ἑλλήνων.

16 75 [μαίνεται] δαιμονίως ἐνεργεῖ, ἐνθουσιᾷ. διὰ τί Ἀχιλλεὺς ἐπὶ καθαιρέσει—Πηλείωνα».

16 86 * ἂψ ἀπονάσσωσι] ἀποκαταστήσουσιν, ἀποδώσουσιν. Gen III ajoute: ἀποστρέψουσι. [ἰέναι] ἀντὶ τοῦ ἴθι καὶ παραγίνου.

16 91 [ἐπαγαλλόμενος] τερπόμενος τῷ νικᾶν. [ἐναιρόμενος] ἐναίρων, ὅ ἐστι φονεύων.

16 94 [ἐμβήῃ] κατέλθῃ, ἐμποδίσῃ, ἐμποδὼν στῇ. [ἐπὴν φάος ἐν νήεσσι θήῃς] ἐπειδὰν σώσῃς τὰς ναῦς.

16 110-111 οὐδένα καιρὸν εἶχεν ἀναπαύσεως, πανταχόθεν δὲ αὐτὸν περιεστοίχησε τὰ κακά. καυλὸν] τὸ ἄκρον τοῦ δόρατος, τὸ εἰς τὴν ἐπιδορατίδα ἐμβαλλόμενον.

16 123 [ἀσβέστη] ἡ ταχέως κατασβεννυμένη. [μηρὼ] μηρούς, δυϊκῶς.

16 126 [ἱπποκέλευθε] ἐφ' ἵππων ποιούμενε τὴν κέλευθον, οἷον ταχύτατε ἱππικέ, ἢ οἷον παραπλησίαν ἵπποις ὁρμὴν ἔχων. [καὶ οὐκέτι φυκτὰ πέλωνται] οὐδὲ φυγεῖν δυνήσονται, σωτηρία ἔσται.

16 134 [ποικίλον ἀστερόεντα] ἤτοι ἀστέρας—λαμπρόν. [Πηλιάδα] τὴν ἐκ Πηλίου—τμηθεῖσαν.

16 143 Gen II ajoute μελία δὲ εἶδος δένδρου. [παρηορίῃσιν] ταῖς ἔξω τοῦ ζυγοῦ ἡνίαις.

16 152 [Πήδασον] ὄνομα κύριον ἵππου. [Ἠετίωνος πόλιν] Θήβας—λέγει.

16 159 παρήϊον] παρειά, σιαγόνες. [αἵματι φοινόν] πεφοινιγμένον ὑπὸ αἵματος, οἷον πυρρόν.

16 161 [λάψοντες] πίνοντες, ἀναρροφοῦντες. [ἀραρῆσιν] ἢ «ἀραιῇσιν», ἤγουν λεπταῖς. [ἄκρον] ἀπὸ ἄκρου τοῦ στόματος ἐρευγόμενοι.

16 162 [φόνον αἵματος] τὴν ποιότητα τοῦ αἵματος. [αὐτὰρ ἐπίκλησιν Βώρῳ] κατ' ἐπίκλησιν δὲ καὶ φήμην Βώρου.

16 178 [ὄπυιε] κατὰ νόμον—ἐγεγαμήκει. [Ἀργεϊφόντης] ὁ Ἑρμῆς—θεός.

16 183 [χρυσηλακάτου] καλλιτόξου—τανύσαντες. [Ἐχεκλῆος] Ἐχεκλῆς Ἄκτορος παῖς.

16 192 [ἀμφαγαπαζόμενος] φιλοφρονούμενος, ἀγαπῶν. [πάνθ' ὑπὸ μηνιθμὸν] ὑπὸ πάντα τὸν τῆς ὀργῆς χρόνον.

16 203 χόλῳ] ἀντὶ τοῦ χολῇ. [φυλόπιδος] τῆς κατὰ πλήθη μάχης.

16 211 [ἄρθεν] ἡρμόσθησαν, ἐπυκνώθησαν ἐξιόντες. [ἱππόκομοι] ἱππείαις θριξὶ τὸν λόφον κομῶσαι.

16 224 [ἀνεμοσκεπέων] τῶν σκέπην τινὰ ποιούντων διὰ τὸν ἄνεμον. [Δωδωναῖε] ἐν χωρίῳ—τιμώμενε.

16 216bis [φάλοισι] τοῖς τῆς περικεφαλαίας ἥλοις, οἵτινες ἀσπιδισκίοις παραπλήσιοί εἰσιν. [οὔλων] ἄλλως· τῶν δασέων καὶ ἐχόντων οὐλότητα.

16 235

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ἀνιπτόποδες χαμαιεῦναι] ἤτοι—θρησκεύειν. χαμαιεῦναι δὲ οἱ ἐπὶ τοῦ ἐδάφους κοιμώμενοι. [νηῶν ἐν ἀγῶνι] ἐν τῷ ἀθροίσματι τῶν νεῶν, ἐν τῷ ναυστάθμῳ.

16 245 [μῶλον] τὴν μάχην, ἀπὸ τοῦ παρεπομένου. [σφήκεσσιν ἐοικότες] σφηξὶν—πληκτικόν.

16 260 [εἰνοδίοις] τοῖς ἐν τῇ ὁδῷ οἰκοῦσιν, ὅ ἐστι φωλεοῖς. ἔθοντες] συνεχῶς ἐξ ἔθους παραγινόμενοι καὶ βλάπτοντες.

16 262 [παρά τίς τε κιὼν] τὸ ἑξῆς· παριών τις. [Πυραίχμην] πεποίηται—νηΐ.

16 288 [Ἀμυδῶνος] πόλις, Παιονίας. [Παίονες] ἔθνος ὅμορον Θρᾳκῶν.

16 299 [πρώονες] αἱ προνενευκυῖαι τῶν ὀρῶν ἐξοχαί. [νάπαι] οἱ ὀρεινοὶ καὶ ἀναπεπταμένοι τόποι, οἱ σύμφυτοι [ὑπερράγη] διαφανὴς ἐγένετο.

16 300 [ἄσπετος] πολὺς καὶ ἀσύνοπτος. [ἐρωή] νῦν ὁρμή—δηλοῖ.

16 304 [προτροπάδην] ἠπειγμένως—τὰ νῶτα. [στρεφθέντος] ἐς φυγὴν κλίναντος.

16 314 [ὀρεξάμενος] νῦν ἐφικόμενος καὶ πλήξας ἐκ χειρός. [πρυμνὸν σκέλος] τὸ ἔσχατον μέρος τοῦ σκέλους. [μυὼν] γαστροκνημία—σαρκῶν.

16 322 [ὀρεξάμενος] ἐπὶ τὸ πατάξαι ὁρμήσας. [πρυμνὸν δὲ βραχίονα] τὸ ἀκρότατον τοῦ βραχίονος.

16 337 [ξιφέεσσι συνέδραμον] ἐκ τοῦ σύνεγγυς ἐμαχέσθησαν. * [πρῆσε χανών] ἐξεφύσησε, μετὰ πνεύματος ἐξέδωκεν.

16 352 * [ἐπέχραον] μετὰ βίας ἐπῆλθον, ἐφώρμησαν, παρὰ τὸ χρῶ τὸ ἐπαφῶ, ἐξ οὗ τὸ κιχρῶ. * [ὑπ’ ἐκ μήλων αἱρεύμενοι] ὑφαιρούμενοι τὰ λιπαρὰ τῶν βοσκημάτων.

16 357 [δυσκελάδου] ἀποτελοῦντος κακὸν ἦχον. αἰθέρος ἐκ δίης] ὅταν πνεύματος ἦχον καὶ νέφος παραστήσῃ.

16 365 αἰθέρος ἐκ δίης] ὅτε, φησὶν, ὁ Ζεὺς μετὰ τὴν αἰθρίαν κατάστασιν ἐκβολὴν ἀνέμου διεγείρει. [λίπον ἅρματ’ ἀνάκτων] ἔλιπον τὰ ἅρματα τῶν δεσποτῶν.

16 372 [σφεδανὸν] ἐπεικτικὸν καὶ ἐπεστραμμένον, ἢ σύντονον, ἢ σπευστικῶς. [ἀέλλη] νῦν κόνις.

16 387 σκολιὰς] ἀδίκους, ἀπὸ τοῦ εὐθέος καὶ ὀρθοῦ παρατετραμμένας ἐπὶ τὸ ἄδικον, ὅ ἐστι στρεβλάς. [δίκην] νῦν τὸ δίκαιον.

16 388 [θεῶν ὄπιν] τὴν τῶν θεῶν ἐπιστροφὴν καὶ φροντίδα. * [κλιτῦς] φάραγγας ἢ ὀρῶν ἀποκλίσεις.

16 390 * [χαράδραι] οἱ ὑπὸ τῶν χειμάρρων ἐκρησσόμενοι αὐλῶνες. παρὰ τὸ χαράσσειν καὶ τραχύνειν τὴν γῆν. * [ἐπὶ κὰρ] ἐπὶ κεφαλὴν φερόμενοι.

16 395 * [ἂψ—παλιμπετὲς] εἰς τοὐμπίσω πεπτωκότας. * [ἀλεὶς] συσταλείς.

16 403 [ἐκ γὰρ πλήγη] ἀντὶ τοῦ ἐξεπλάγη 〈γάρ〉. [ἱερὸν ἰχθὺν] ἤτοι μέγαν.

16 408 [λίνῳ] ὁρμιᾷ ἢ τῷ ἀγκίστρῳ. [χαλκῷ] λέγει δὲ τῷ ἀγκίστρῳ. [θυμοραϊστής] ὁ τὴν ψυχὴν διαφθείρων καὶ ἀπολλύων.

16 419 [ἀμιτροχίτωνας] ἀζώστους—χρωμένους. [ἐν πίονι δήμῳ] ἐν πολλῷ καὶ εὐδαίμονι ὄχλῳ.

16 449 [κότον αἰνὸν] νῦν φιλονεικίαν αἰνήν. [μακών] τανυσθεὶς 〈ἢ〉 φθεγξάμενος βαρύ.

16 470 * [κρίκε] ἐψόφησεν, ἤχησεν, ποιὸν ἦχον ἀπετέλεσεν. [παρήορος] ὁ ἔξω τοῦ ζυγοῦ ἵππος, παράσειρος καλούμενος [τανύηκες] ἐκτεταμένην εἰς μῆκος ἔχων τὴν ἀκμήν.

16 474 * [ἐμάτησε] ἐματαιοπράγησεν, ἠμέλησεν. [ἰθυνθήτην] ἐπ’ εὐθείας ἔστησαν τεταμένως.

16 475 [ῥυτῆρσι] ἡνίαις—ἐστιν ἑλκύειν. * [ἀμφ’ ἀδινὸν κῆρ] περὶ τὴν συνετὴν ψυχήν.

16 481bis φρένες ἔρχαται] ἀεὶ ὁ ποιητὴς φρένας καλεῖ τὸ διάφραγμα. ἔνθ’ ἄρα τε φρένες ἔρχαται ἀμφ’ ἀδινὸν κῆρ] ἔνθα αἱ φρένες εἰσί. παρὰ τὸ φύσει λαμπρὸν καὶ ἡδὺ μέρος τῆς ψυχῆς. * [ἀχερωΐς] ἤγουν δένδρον ὃ καλεῖται λεύκη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

16 482 ἔνιοι δὲ φηγοῦ εἶδος εἶπον αὐτήν. [βεβρυχώς] βρυχώμενος—συναρμόζων αὐτούς.

16 491 [μενέαινε] νῦν ἐλιποψύχει, ἀλλαχοῦ δέ φησι «νήπιοι οἳ Ζηνὶ μενεαίνομεν» (Il XV, 104), ἀντὶ τοῦ ὀργιζόμεθα, καὶ «μενέαινε κῦδος ἀρέσθαι» (Il. XXI, 543), ἀντὶ τοῦ προεθυμεῖτο. [ἤματα πάντα] δι’ ὅλου τοῦ αἰῶνος.

16 501 [ἔχεο κρατερῶς] ἀντέχου τῆς μάχης καὶ προΐστασο κρατερῶς. [προτὶ δὲ φρένες αὐτῷ ἕποντο] προσείχοντο δὲ αὐτῷ αἱ φρένες.

16 504bis τούτου δὲ ὑπὸ τὸ αὐτὸ τήν τε ψυχὴν καὶ τὴν τοῦ δόρατος αἰχμὴν ἐξείλκυσεν. [ἀεικίσσωσι δὲ νεκρὸν] ὑβρίσωσι δὲ καὶ τὸν νεκρόν.

16 549 [ἄσχετον] ἀκατάσχετον, ἄφοβον, οὐ μέτριον. λάσιον κῆρ] συνετὴ ψυχή· περίφρασις ὁ τρόπος [Βουδείῳ] πόλις Θεσσαλίας.

16 574 [ἐς Πηλῆα ἱκέτευσε] ἀντὶ τοῦ πρὸς Πηλέα ἱκέτης ἦλθεν. αἰγανέης] εἶδος ἀκοντίου πρὸς αἰγῶν ἄγραν ἐπιτηδείου.

16 595 [Ἑλλάδι] Ἑλλὰς πόλις Θεσσαλίας. [ὑπ’ ἀσπίδια προβιβῶντι] ὑπὸ τὴν ἀσπίδα βαίνοντι.

16 612 οὐρίαχος] τὸ ὄπισθεν—καλεῖται. [Ἄρης] νῦν ὁ σίδηρος.

16 617 ὀρχηστήν] εὐκίνητον—ἁρμόδιος. * [σχέσαι] σχεῖν τὴν δύναμιν, προθυμίαν.

16 635 [εὐρυοδείης] μεγαλαμφόδου, πλατείας. [φράδμων] διορατικὸς καὶ ὀξὺς καὶ ἔμπειρος.

16 638 ὁ δὲ λόγος— —γνώριμος, φησὶ, καὶ συνήθης—πεφύρθαι. [σταθμῷ] τῇ τῶν βοσκημάτων στάσει καὶ ἐπαύλει.

16 642 [ἐνιβρομέουσι] ποιὸν ἦχον ἀποτελοῦσιν. [περιγλαγέας] γαλακτὶ πεπληρωμένας. * [πέλλας] ποιμαντικὰς σκαφίδας, τὰς ὑποδεχομένας τὸ γάλα. [Διὸς ἱρὰ τάλαντα] τὰ τοῦ Διὸς τάλαντα, ὅ ἐστι ζυγά.

16 671 [πομποῖσιν] τοῖς παραπέμπουσιν αὐτὸν καὶ παρακομίζουσιν. [μετεκίαθε] ἀντὶ τοῦ μετήρχετο, * [ἀγκῶνος] νῦν τῆς τοῦ τείχεος ἐξοχῆς.

16 717 * [μήτρως] μητρὸς ἀδελφός οἱ δὲ νεώτεροι ἐπὶ τοῦ πρὸς μητρὸς πάππου τάττουσιν. * [ἔφεπε] ὅρμα διώκων αὐτούς.

16 736 * [ἄζετο] ἀπείχετο τοῦ ἀνδρός. [δὴν] ἐπὶ πολὺν χρόνον [βέλος] ἢ βόλος.

16 737 νῦν φησι τὸν λίθον. [ἀρνευτῆρι] ἀπὸ μεταφορᾶς—ἐπισείουσιν.

16 747 [τήθεα] εἶδος ὀστρέων. * [δυσάμπελος] ἢ, ὡς Ἡσίοδός φησι, δυσχείμερος.

16 751 [ἐπὶ Κεβριόνῃ ἥρωϊ βεβήκει] ἀντὶ τοῦ ἤλαυνεν ἐπὶ τῷ Κεβριόνῃ. * [σταθμοὺς] σταθμόν.

16 752 νῦν τὴν ἔπαυλιν. [βουλυτὸν δὲ] ἐπὶ τὴν ἑσπέραν, δείλης, καθ’ ὃν καιρὸν οἱ βόες ἀπολύονται τῶν ἔργων.

16 792 [στρεφεδίνηθεν δέ οἱ ὄσσε] περιεστράφησαν αὐτοῦ οἱ ὀφθαλμοὶ, οἱονεὶ ἐσκοτώθησαν. [τρυφάλεια] τὸ τῆς περικεφαλαίας ἀνάστημα καὶ αὐτὴ ἡ περικεφαλαία.

16 803 τερμιόεσσα] ποδήρης—μεγάλη. [βῆσεν] ἀπέβαλεν, ἀπέβησε τῶν ἵππων, ἤ «βῆσαν», ἀπέβησαν.

16 811 σὺν ὄχεσφι] ἀντὶ τοῦ ἁρματομαχεῖν ἐπιστάμενοι, ἐν πολέμῳ γυμναζόμενοι. [ἀγχίμολον] σύνεγγυς.

16 820 σημαίνει δὲ καὶ τὸ μετ’ ὀλίγον. [Ἕκτορος ὠκέες ἵπποι] τούτων δὲ προπολεμοῦσιν οἱ τοῦ Ἕκτορος ἵπποι, τουτέστιν αὐτὸς—ὀχούμενος.

16 836 [ἦμαρ ἀναγκαῖον] ἀνάγκης ἡμέραν φησὶ, τοῦ θανάτου. ἐζήτηται πῶς τέσσαρας—ἐξεναρίζεις»; ἔστι λέγειν—ἵν’ ᾖ πολλοστός.

16 850bis

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[τρίτος ἐξεναρίζεις] ἀντὶ τοῦ μετὰ πολλοὺς σκυλεύεις. [ἐκ ῥεθέων] ἐκ τῶν μελῶν, ἐκ τοῦ σώματος.

17 2 [Τρώεσσι δαμεὶς] ἀντὶ τοῦ ὑπὸ Τρώων δαμασθείς. [ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε] περιέβαινε δὲ καὶ ὑπερεμάχει αὐτοῦ.

17 4 [πόρτακι] νεογνῷ βοΐ, οἱονεὶ πόρις, παρὰ τὸ νεωστὶ πορεύεσθαι καὶ βαίνειν. [πρωτοτόκος] πρώτως τετοκυῖα.

17 5 τῷ οὖν τόνῳ παροξυτόνως, ἵν' ᾖ ἐνεργητικόν. προπαροξυτόνως δὲ δηλοῖ ἡ λέξις τὴν πρώτως τεχθεῖσαν. [ἐϋμμελίης] ἤτοι ὁ καλὰ μέλη ἔχων καὶ εὔμορφος, ἢ ὁ εὖ τῇ μελίᾳ χρώμενος, τουτέστι πολεμικὸς καὶ ἀνδρεῖος ἔα δ' ἔναρα βροτόεντα] ἔκειντο—Ἀπόλλωνος.

17 17 [μελινδέα θυμὸν ἕλωμαι] ἀφέλωμαί σου τὴν προσφιλεστάτην ψυχήν. [πορδάλιος] πόρδαλις ὁ ἄρσην, ἡ δὲ θήλεια πάρδαλις· ὁ μὲν ἀπὸ τοῦ προσάλλεσθαι, ἡ δὲ ἀπὸ τοῦ παραβάλλεσθαι.

17 22 * [βλεμεαίνει] τῇ αὐτοῦ δυνάμει γαυριᾷ καὶ ἐπαίρεται καὶ μαργαίνει καὶ ἐνθουσιᾷ. ὁπόσον οἱ τοῦ Πάνθου υἱοὶ τῷ δόρατι κάλλιστοι φοροῦσιν.

17 25 [ἧς ἥβης ἀπόνητο] τῆς ἰδίας ἀκμῆς, ὅ ἐστι νεότητος, ἀπέλαυσεν. * [ὤνατο] ἐξεφαύλισεν, ὠνείδισεν, ἐμέμψατο. [ἔφατο] νῦν ἐλογίσατο, ὁτὲ δὲ εἶπεν.

17 32 [ῥεχθὲν δέ τε νήπιος ἔγνω] τοῦτο—γινώσκει. [ἦ μάλα τίσεις] ἀντὶ τοῦ—ἀδελφοῦ.

17 36 [χήρωσας] χήραν καὶ ἔρημον ἐποίησας. [θαλάμοιο νέοιο] νεωστὶ κατεσκευασμένου, προσφάτου. [ἀρητὸν] ἤτοι βλαβερόν, παρὰ τὴν ἀρὰν, ὅ ἐστι βλάβην, ἢ ἀπευκτόν.

17 37 ἐλλείπει δὲ τὸ γάμον. [κατάπαυμα γενοίμην] καταπαύσαιμι—αὐτοῖς.

17 40 * [Φρόντιδι] τῇ γυναικὶ τοῦ Πάνθου. [Φροντίδι] τὴν γὰρ παρατέλευτον συλλαβὴν δεῖ ὀξυτονεῖν, ἵν' ᾖ θηλυκὸν, ἐπεὶ προπαροξυτόνως ἐστὶν ὁ Φρόντις ἀρσενικός.

17 41 ἀλλ' οὐδαμῶς 〈μὴ〉 ἐπὶ πολὺν χρόνον ἄπειροι γενώμεθα τῆς ἀλλήλων δυνάμεως καὶ μάχης. [ἀδήριτος] χωρὶς μάχης, ἀφιλόνεικος.

17 47 [κατὰ στομάχοιο θέμεθλα] κατὰ τὴν ἀρχὴν καὶ θέσιν τοῦ στομάχου, ὅ ἐστι τὸν βρόγχον. [δεύοντο] νῦν ἐβρέχοντο.

17 51bis χαρίτεσσιν ὁμοῖαι] ἀντὶ τοῦ—στεφανίτιδας ἐσφήκωντο] ἐσφιγμένοι ἦσαν, ἐδέδεντο.

17 52 ὅθεν καὶ σφήκωμα εἴρηται. ἢ ὅτι πεπλεγμένοι ἦσαν. οἷον δὲ—ἐλαίης] Ποσειδῶν—Ἀθηνᾶς.

17 53 ἡ ἱστορία παρὰ Καλλιμάχῳ. * [οἰοπόλῳ] ἢ τῷ ἐρήμῳ—ἀναστρέφεσθαι δύνανται, ὅ ἐστι βόσκεσθαι.

17 54 [ἀναβέβρυχεν] τὸ δὲ «ἀναβέβρυχεν» δηλοῖ τὸ ἀναβρύειν— μετὰ ψόφου. λαφύσσει] λάπτει—ἐσθίει.

17 66 ἰύζουσιν] ἀγροικικῇ φωνῇ προσφέρονται, προσφωνοῦσιν. πεποίηται δὲ ἡ λέξις παρὰ τὸ ἰού ἐπίρρημα. [Κικόνων] ἔθνος Θρᾳκῶν.

17 83 [μελαίνας] νῦν συνετάς. [ὠτειλὴν] τὸ ἐκ βολῆς τραῦμα.

17 88 [Ἡφαίστοιο] νῦν πυρός. [ὃς κεῖται—τιμῆς] ἀντὶ τοῦ ὃς ἐμὲ τιμήσας κεῖται, ἢ ὃς κεῖται ἕνεκα τοῦ ἐμὲ τιμωρῆσαι τοὺς Τρῶας.

17 98 * ὅταν, φησὶ, ἐθέλῃ τις ἀνθρώπῳ—πῆμα κυλίσθη. κυλίσθη] ἐπηνέχθη, ἐπῆλθε κακόν τι ἐκ θεοῦ αὐτῷ.

17 101 [χωρήσαντα] ὑποχωρήσαντα. [ἐκ θεόφιν] νῦν ἐκ θεοῦ προρρήσεως. [λὶς] λέων Αἰολικῶς.

17 109 [ἠϋγένειος] ὁ καλὸν γένειον ἔχων ἢ μέγα στόμα. [σταθμοῖο] τῆς ἐπαύλεως, τῆς αὐλείου θύρας.

17 112

Eulogikon public reading copy · View original HTML at eulogikon.org

* [παχνοῦται] συστέλλεται, ὑπὸ λύπης πήγνυται ἢ δάκνεται. ἡ μεταφορὰ ἀπὸ τῆς πάχνης. νήπι' ἄγοντι] ἐπιφερομένῳ τοὺς σκύμνους.

17 134 σημειωτέον δὲ ὅτι —σκυμναγαγοῦσιν. [ἐπακτῆρες] κυνηγοί, ἀπὸ τοῦ ἐπάγεσθαι τοὺς κύνας.

17 136 ἐπισκύνιον] τὸ ἐπάνω—τοῖς ὀργιζομένοις. [κάτω ἕλκεται] κάτω ἕλκει, κατασπᾷ.

17 136bis παθητικὸν ἀντὶ ἐνεργητικοῦ. [ἀέξων] αὔξων, μεγάλως λυπούμενος.

17 145 [ἐγγεγάασιν] ἐκγεγένη〈ν〉ται, ὅ ἐστιν εἰσίν, ἐνεργοῦσιν. [κύρμα] ἐπίτευγμα, ἐπικύρημα ἐν τῷ πολέμῳ.

17 155 [πεφήσεται] νῦν προφανὴς γενήσεται, ὁτὲ δὲ τὸ φονευθήσεται. [πέφαται] νῦν ἀνῄρηται.

17 165 [ἀγχέμαχοι] γενναῖοι—μάχεσθαι. [κατ' ὄσσε ἰδών] κατιδὼν τοῖς ὀφθαλμοῖς.

17 171 [περὶ φρένας ἔμμεναι ἄλλων] φρονήσει διαφέρειν τῶν λοιπῶν. [δηΐου ἐκ πολέμου] ἐκ τοῦ διακοπτικοῦ πολέμου.

17 191 οἵτινες πρὸς τὸν πόλεμον ἔφερον τὰ περίδοξα ὅπλα τοῦ Ἀχιλλέως. [προτὶ ὃν—θυμόν] πρὸς τὴν ἑαυτοῦ ψυχὴν ἔφη.

17 205 [οὐ κατὰ κόσμον] οὐ κατὰ τὸ προσῆκον, ἐφ' ὕβρει. * [ποινὴν] τιμωρίαν· οἱ δὲ ἀμοιβήν, χάριν.

17 210 * [δῦ δέ μιν Ἄρης] ἐπιθυμία καὶ ὁρμὴ πολεμικὴ ἐπῆλθεν αὐτῷ. [ἰνδάλλετο] ὡμοιοῦτο, τῷ Ἀχιλλεῖ δηλονότι.

17 225 [κατατρύχω] καταδαπανῶ, ἀνιῶ, εἰς ταλαιπωρίαν ἄγω. ἐδωδῇ] τροφῇ. ὁ δὲ λόγος· καταπονῶ τοὺς Τρῶας ἀναγκάζων παρέχειν τοῖς συμμάχοις δωρεὰς καὶ εὐωχίας. * [ὀαριστύς] αὕτη γὰρ ἡ τοῦ πολέμου ὁμιλία, ὅ ἐστιν· οὕτως δεῖ ἀναστρέφεσθαι ἐν τῷ πολέμῳ—πολεμούντων.

17 236 [ἥ τε πόλεσσιν—ἀπηύρα] ἀντὶ τοῦ· πολλῶν ἐπ' αὐτῷ τὴν ψυχὴν ἀφείλετο. [ὅσσον ἐμῇ—καὶ σῇ] ὅσσον περὶ ἐμαυτοῦ καὶ σοῦ φοβοῦμαι μή τι πάθωμεν.

17 243 * [ἐπεὶ πολέμοιο νέφος] ἐπεὶ πανταχόθεν ἐσκότισεν ὁ Ἕκτωρ ὥσπερ νέφος. [δήμια πίνουσιν] τὰ δημόσια, τὰ παρὰ τοῦ δήμου ἐξαιρέτως διδόμενα τοῖς βασιλεῦσι, καταναλίσκουσι καὶ σημαίνουσιν ἕκαστος.

17 254 [ἀλλά τις αὐτὸς ἴτω] ἀλλὰ ὑπὸ τῆς ἰδίας γνώμης παραγενέσθω. [νεμεσιζέσθω] μεμφέσθω, ἄξιον ἡγείσθω μέμψεως, αἰδείσθω. [μέλπηθρα] ἑλκύσματα, παίγνια· οἱ γὰρ κύνες, ὁπόταν χορτασθῶσι τοῖς λειψάνοις, παίζουσι.

17 255 μολπὴ δὲ νῦν ἡ παιδιά. [προχοῇσι] ταῖς εἰς θάλασσαν προχύσεσι τῶν ποταμῶν.

17 263bis διιπετέος ποταμοῖο] κατάρρου, προαλοῦς, ἤτοι ὑπὸ Διὸς πληρουμένου οἷον χειμάρρου, ἢ διαφανοῦς καὶ οἱονεὶ διαπεπετασμένου. [βέβρυχε] ποιὸν ἦχον ἀπετέλεσεν.

17 264 ὀνοματοποιΐα ὁ τρόπος. [ἐρευγομένης ἁλὸς ἔξω] ἐκβρασσομένης τῆς θαλάσσης εἰς τὸ ἔξω μέρος.

17 283 διὰ βήσσας] ἀντὶ τοῦ διὰ βησσῶν, ὅ ἐστι βασίμων τόπων. [ἱπποδάσεια] ἡ ἐξ ἱππείων τριχῶν ἔχουσα τὸν λόφον.

17 295 [ἤρικε] διεσχίσθη· ὅθεν καὶ ἐρείκη καὶ τὰ ἐρίγματα, παρὰ τὸ καταψοφεῖν. [ἐγκέφαλος δὲ] ὁ δὲ ἐγκέφαλος—τὸ ἐπίμηκες τοῦ δόρατος [Λαρίσσης] πόλις Τρωϊκή.

17 307 * [Πανοπῆϊ] πόλις Φωκίδος Πανοπεύς. [Ἠπυτίδῃ] Ἠπύτου παιδί, ἢ φωνητικόν.

17 329 [κάρτεϊ—πεποιθότας] καὶ τῷ κράτει ἡμῶν καὶ τῇ δυνάμει θαρροῦντας. [ὑπερδέα] ὑπερδέοντα, ὅ ἐστι γενναῖον καὶ ὑπεράγοντα τοὺς ἀντιτεταγμένους ἔχοντας πλειόνως.

17 354 [ἔρχατο] περιπεφραγμένοι ἦσαν. * [πρὸ δὲ δούρατ' ἔχοντο] προείχοντο δὲ αὐτοῦ τὰ δόρατα.

17 359

Eulogikon public reading copy · View original HTML at eulogikon.org

* [ἀμφ’ αὐτῷ βεβάμεν] περιβεβηκέναι καὶ ὑπερασπίζειν. * [ἀγχιστῖνοι] ἐπάλληλοι, πυκνοί [ὑπερμενέων] ὑπερεχόντων τῇ δυνάμει, ἀνδρείων.

17 363 * [ἀναιμωτί] χωρὶς αἵματος καὶ φόνου. * [δέμας πυρός] τρόπον καιομένου πυρός, θερμοί.

17 371 [εὔκηλοι] ἥσυχοι, εὐδιάδοχοι· ἐπιφέρει γὰρ—ἀναπαύσεως. [γαίης οὐδ’ ὀρέων] οὔτε ἀπὸ γῆς οὔτε ἀπὸ ὀρῶν.

17 381 [ἐπιοσσομένω] κατὰ διάνοιαν σκοπούμενοι, ὑπεροπτεύοντες. [τανύουσι κυκλόσε] ἀντὶ τοῦ τείνουσι κύκλῳ, ὡς πρὸς τὸ σχῆμα τῶν ἑλκόντων.

17 392 [ἄφαρ .... ἀλοιφὴ] ταχέως ἡ ὑγρασία διέρχεται τοῦ στέατος οὖσα ἐλαιώδης. [μῶλος] ἡ ἐκ καταμονῆς μάχη, ὁ μολυσμός.

17 398 [λαοσσόος] ἡ τῶν λαῶν τὸ πλῆθος διοικῶν καὶ σώζων, ὁτὲ δὲ εἰς φυγὴν τρέπων. [ἀλλ’ αὐτοῦ—χάνοι] ἀλλ’ ἐν αὐτῷ τῷ τόπῳ πάντες γῆς χάσματι δεχθεῖεν.

17 422 [ἐρωείτω] ἀμελείτω, ὑποχωρείτω. ** [ἑκάστου] γράφεται «ἑταίρου.

17 423 » [σιδήρειος δ’ ὀρυμαγδὸς] ἤτοι στερεὸς ἢ ὁ ἀπὸ ὅπλων τοῦ σιδήρου ψόφος.

17 427 [ἡνιόχοιο] ἡνίοχος γὰρ ἦν Πάτροκλος Ἀχιλλέως, Πατρόκλου δὲ Αὐτομέδων, Αὐτομέδοντος δὲ Ἀλκιμέδων. [θείνων] τύπτων.

17 430 ὅθεν καὶ θίς ὁ αἰγιαλὸς, παρ’ ὅσον τύπτεται ὑπὸ τῶν κυμάτων. ** [ἀμφοτέροισι] γράφεται «ἀμφοτέρωθεν.

17 440 » [ἵπποις ἀΐσσων] σὺν τοῖς ἵπποις ὁρμῶν.

17 464 [ἱερῷ ἐνὶ δίφρῳ] ἤτοι μεγάλω, ἢ ἱεροὺς ἐλαύνοντι ἵππους. * [νηκερδέα] ἀκερδῆ, ἀνωφελῆ, βλαβεράν.

17 476 [ἀθανάτων] 〈ἢ〉 «ὠκυπόδων.» ** [μήστωρ] γράφεται «μῆτιν».

17 502 [ἐμπνείοντε] καταπνέοντες, ὅ ἐστι καταφυσῶντες αὐτὸ τὸ μετάφρενον, ὅ ἐστιν ἐγγὺς ὄντες τοῦ νώτου. [ἐπετράπεθ’ ὅσσοι] ἐν ἐπιτροπῇ ἐστὶ.

17 509 * ἀντὶ τοῦ ἐπιτέτραπται Gen III ajoute ἤγουν ἐπιτετραμμένον ἐστίν. [ἐν γούνασι κεῖται] οἱονεὶ παράκειται ἢ ἐν ἐξουσίᾳ τῶν θεῶν ἐστιν.

17 524 [νηδυίοισι] τοῖς ἐντοσθίοις, τοῖς ἐντέροις, ὅ ἐστι σπλάγχνοις· νηδὺς γὰρ ἡ κοιλία. οὐρίαχος] ἄκρον μέρος τοῦ δόρατος, τὸ ὄπισθεν.

17 546 [δὴ γὰρ νόος ἐτράπετ’ αὐτοῦ] εἰς τοῦτο γὰρ ἐτράπη αὐτοῦ ἡ γνώμη. [Φοῖνιξ] νῦν ὄνομα κύριον τοῦ Ἀχιλλέως τροφοῦ.

17 561 [ἄττα] τροφεῦ—προσφώνησις. [παλαιγενές] πάλαι γεγονώς. νῦν δὲ πρεσβύτατος. [ἐσεμάσσατο θυμόν] καθῆκε καὶ ἐλύπησε τὴν ψυχὴν καὶ ἐναπεμάξατο.

17 570 [μυίης θάρσος] τὸ ἐπίμονον τοῦ ἥρωος λέγει· οὗτος γὰρ ἀποτρεπόμενος εἰς ἄλλον τόπον ἔτρεχεν εἰς τὸν αὐτόν. [ἦν δέ τις] ἢ «ἔσκε δ’ ἐνὶ».

17 579 [διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν] διήλασε τὸ δόρυ ὥστε διελθεῖν εἰς τοὔμπροσθεν. [Ἀβυδόθι] Ἄβυδος δὲ πόλις Τροίας 〈ἐφ’〉 Ἑλλησπόντῳ.

17 587 ὃς τὸ πάρος περ] πρέποντας πολεμίῳ—ἀνδρεῖον. [ἄχεος νεφέλη] νέφος, πύκνωμα τῆς λύπης, περιφραστικῶς λύπη.

17 597 [φόβοιο] φόβος δὲ ἡ συνδίωξις. [ἐν καυλῷ] τὸ ἄκρον τοῦ δόρατος—ἐπιδορατίδι.

17 611 [Κοίρανον] νῦν ὄνομα κύριον. [Λύκτου] Λύκτος πόλις τῆς Κρήτης. [πεζὸς] ὁ Μηριόνης δηλονότι πεζὸς παρεγένετο.

17 622

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[μάστιε] μάστιζε. λέγει δὲ τὸν λέοντα ἐν τῇ οὐρᾷ ἐκ φύσεως ἔχειν λεπτόν τι κεντρῶδες, ὑφ’ οὗ νυττόμενος καὶ πονῶν πλέον ἀγριοῦται. [εἴη] ἀντὶ τοῦ ἔστω.

17 646 [αἴθρην] ἀνέφελον καὶ εὔδιον ἀέρα. [φάει] φωτί.

17 647 τὸ δὲ αὐτὸ δηλοῖ τὸ σέλας. [ἐκ πῖαρ ἑλέσθαι] ἐξαρπάσαι τὴν λιπαρωτάτην τῶν βοῶν.

17 667 [πρὸ φόβοιο] ἀντὶ τοῦ ὑπὸ φόβου, ἢ πρὸ τοῦ ἀναγκασθῆναι φεύγειν. [αἰετὸς] ὄρνις διορατικὸς καὶ ὀξὺς ἐν τῷ ὁρᾶν καὶ ἵπτασθαι.

17 674 φησὶ γὰρ ὁ Ἀριστοτέλης ὡς ἵστησι τοὺς νεοσσοὺς πρὸς τὸν ἥλιον ἀναγκάζων βλέπειν, καὶ ὁ δυνηθεὶς ὁρᾶν τοῦ αἰετοῦ ἐστιν υἱός. [πτὼξ] ὁ λαγωός, ἀπὸ τοῦ πτώσσειν.

17 680 [δινείσθην] ἐδινοῦντο, ὅ ἐστι περιεστρέφοντο. κατέστυγε] κατεστύγνασεν, ἐν στυγνότητι καὶ κατηφείᾳ ἐγένετο.

17 705 * ἀνῆκεν] ἤτοι ἀνέπεισεν, ἐνέβαλεν ἀφηγεῖσθαι. [ἐτρέπετο χρὼς] ἠλλάσσετο ἡ ἰδέα τοῦ προσώπου.

17 742 κρατερὸν μένος ἀμφιβαλόντες] ἀντιθέντες καὶ ἀντερείσαντες ἀλλήλοις τὰς ἑαυτῶν δυνάμεις, ὅ ἐστι συνάψαντες καὶ ἰσώσαντες. [ἰσχανέτην] ἐπεῖχον τὴν ὁρμὴν, ἐκώλυον.

17 747-748 [πρὼν ... ὑλήεις] ὑλώδης τόπος, ἐξοχὴ ὄρους. [πεδίοιο διαπρύσιον τετυχηκώς] παρ’ ὅλον τὸ πεδίον διατεταμένως διήκων.

17 751 [πλάζων] πλανῶν. νῦν δὲ ἀνακόπτων καὶ ἀνακρούων. [ψαρῶν .

17 755 ... κολοιῶν] ψᾶρες καὶ κολοιοὶ εἶδος ὀρνέων. ἄλλως· συναγελαστικὸν δὲ ὁ κολοιὸς καὶ φιλάλληλον, ὡς ἡ παροιμία· «αἰεὶ κολοιὸς παρὰ κολοιὸν ἱζάνει.» φασὶ δὲ οὕτω φιλαλλήλους εἶναι, ὡς εἴ τις ἔλαιον ἀπόθηται, ἀφορῶντες εἰς τὴν σκιὰν καὶ κατιόντες δῆθεν πρὸς τοὺς ἑταίρους ἐλαιοῦσθαι. [νέφος] νῦν τὸ πολὺ πλῆθος τῶν ὀρνέων. [κίρκον] εἶδος ἀετοῦ, ὁ λεγόμενος ἱέραξ· ὁ γὰρ ἀετὸς τὰ μεγάλα φονεύει. [5]

17 757 [σμικρῇσι] μικραῖς. ἡ διάλεκτος Ἰώνων. οὕτως μὲν δὴ οὗτοι ἐμάχοντο δίκην θερμοῦ πυρός.

18 3 νεῶν ὀρθοκραιράων] ὀρθὰς κεραίας ἐχουσῶν—ὀθόνη. ἐζήτηται δὲ πῶς—τῇ ὁδῷ.

18 10 Μυρμιδόνων τὸν ἄριστον] Ἄκτωρ γένει μὲν ἦν Λοκρὸς, γήμας δὲ—Αἰγίνῃ. ἦ μάλα δὴ τέθνηκεν] ἀκριβῶς—ἔγημε.

18 13 σχέτλιος] ἀντὶ τοῦ σχετλιασμοῦ—ἑαυτὸν δέ. [κεῖται] ἀντὶ τοῦ ἀνήρηται, τέθνηκεν.

18 22 [ἄχεος νεφέλη] πλῆθος λύπης, ὅ ἐστι πολλὴ λύπη. [κόνιν] τὴν σποδόν.

18 23 παρὰ τὸ κεκαῦσθαι. [ληΐσατο] ἐκ λαφύρων ἐκτήσατο.

18 42 Ἴαιρα] ἡ ψιλή. [εἴδετε] ἀντὶ τοῦ ἴδητε ἢ γνῷτε.

18 54 [δυσαριστοτόκεια.] ἐπὶ κακῷ—εὔτεκνος. [γουνῷ ἀλωῆς] ἐν τῷ γονίμῳ τόπῳ τῆς γῆς.

18 66-67 [περὶ δὲ—ῥήγνυτο] περιερρήγνυτο δὲ αὐταῖς τὰ τῆς θαλάσσης κύματα. [ἀεκήλια] χαλεπά, ἢ τὰ μὴ ἡσυχίας ἄξια, ταραχώδη.

18 93 τιμωρίαν δὲ παράσχῃ ἀξίαν ὑπὲρ τῆς Πατρόκλου ἀναιρέσεως. ἀρῆς ἀλκτῆρα] βλάβης καὶ κακώσεως ἀποτρεπτικὸν— τὸ ἔδησέ φησιν.

18 108 [ἐφέηκε πολύφρονα] παρώξυνε, παρώρμησε τὸν πάνυ σώφρονα καὶ συνετόν. ** [ταῦτά γε] γράφεται «τοῦτό γε».

18 136 [ἠῶθεν] ἕωθεν, ὄρθρου, πρὸ τοῦ τὸν ἥλιον ἀνατεῖλαι. [αἴθωνα] διάπυρον, θερμόν.

18 161 «ἀπὸ σώματος» δὲ ἀπό τινος ζῴου—λέοντα. [κρύβδα—θεῶν] λαθραίως οὐρανοῦ καὶ τῶν ἄλλων στοιχείων.

18 178

Eulogikon public reading copy · View original HTML at eulogikon.org

* [μηκέτι κεῖσο] μηδὲ ἀργῶς διατέλει. * [σέβας] 〈τὸ〉 αἰδοῦς καὶ σεβασμοῦ ἄξιον * τῆς προσωποποιΐας.

18 191 [Ἡφαίστοιο πάρα] παρ᾽ Ἡφαίστου. ὁ τρόπος ἀναστροφή. ἄλλου δὲ οὐδενὸς οἶδα ἁρμόζουσάν μοι πανοπλίαν.

18 192 διὰ τί δέ φασί, τὴν Πατρόκλου πανοπλίαν οὐκ ἀναλαμβάνει ὁ Ἀχιλλεὺς, ἐπειδὴ καὶ Πατρόκλῳ τὰ αὑτοῦ ἥρμοσε; τινὲς δέ φασιν ὅτι καταγέλαστον—τοῖς τεθαρρηκόσι, οἱ δὲ ὅτι τὴν Πατρόκλου Αὐτομέδων εἶχεν, ἵνα διαπαντὸς Ἀχιλλέως ἡνίοχος νομίζηται. * [ἀμφὶ—ἔστεφε] τὴν δὲ κεφαλὴν αὐτοῦ νέφει ἐκάλυψεν ὡς δ᾽ ὅτε καπνὸς] ἔθος ἦν τοῖς ἀρχαίοις—ἡ σάλπιγξ [πυρσοὶ] πυρσὸς τὸ ἐκ φρυγανώδους ὕλης ἀναπτόμενον πῦρ. [5]

18 216 [ὠπίζετ᾽ ἐφετμὴν] ἔστρεφε τὴν φροντίδα, 〈ἢ〉 ἐποιεῖτο προσταγήν. ἀπὸ τῶν ἰδίων—ἐσάλπιζον.

18 224 [ἂψ ὄχεα τρόπεον] εἰς τοὐπίσω περιέστρεφον τὰ ἅρματα. [ὄσσοντο] προεώρων κατὰ διάνοιαν, προέβλεπον. [ἐν φέρτρῳ] ἐν κλινιδίῳ, ἐν ᾧ κατατίθενται οἱ νεκροί.

18 245 πρὸς τί, φασὶν, ἐκκλησίαν ἀθροίζει; τινὲς μὲν οὖν— δημηγορεῖν τὸν Ἕκτορα. [πρόσσω καὶ ὀπίσσω] εἰς τὸ παρῳχηκὸς καὶ εἰς τὸ μέλλον.

18 258 [ῥηΐτεροι πολεμίζειν] εὐκολώτεροι, εὐκαταγωνιστότεροι. [πολεμίζειν] ἀντὶ τοῦ πολεμίζεσθαι. [μένος Ἄρηος δατέονται] ἀντὶ τοῦ 〈πολεμοῦσι,〉 μάχονται.

18 264 περίφρασις ὁ τρόπος. * τὸν Ἄρην μερίζονται. Gen II ajoute: τοῦ κινδύνου. [δατέονται] 〈διαιροῦνται〉 τὸν πόλεμον, καθόσον ὁτὲ μὲν ἔφευγον, ὁτὲ δὲ ἐδίωκον. * [εὖ νύ τις αὐτὸν γνώσεται] κακόν τι παθὼν ὑπ᾽ αὐτοῦ. [5]

18 272 * [αἲ γὰρ—γένοιτο] ὤφελον γὰρ ἀπὸ τῆς ἀκοῆς τῆς ἐμῆς γενέσθαι, οἷον μηδέποτε ταῦτα λεγόμενα ἀκούεσθαι. [ἀπ᾽ οὔατος] τινὲς δὲ ἀπούατον—τουτέστι δειλός. * [νύκτα—ἕξομεν] τὴν μὲν νύκτα μενοῦμεν ἐπ᾽ ἐκκλησίας, βουλευόμενοι δηλαδὴ, ἢ τῆς βουλῆς ἐπικρατήσομεν, ὅ ἐστιν ἐν συναθροίσει μενοῦμεν.

18 281 * [ἠλασκάζων] περιτρέχων μάτην τὸ τεῖχος καὶ περιπλανώμενος. [Μῃονίην] Λυδίαν· οὕτω γὰρ πρότερον ἐκαλεῖτο Τρώων δ᾽ ὃς κτεάτεσσιν] τῶν Τρώων—δαπανηθῆναι.

18 301 * [καταδημοβορῆσαι] δημόσια αὐτὰ ἀναλῶσαι, ὑπὲρ τοῦ κοινοῦ. [δότω καταδημοβορῆσαι] καταναλῶσαι δότω αὐτὰ τῷ πλήθει.

18 302 * [τῶν τινα—ἐπαυρέμεν] λείπει τὸ του, ἵν᾽ ᾖ· «τούτων τινὰ βέλτερον ἐπαυρέμεν», ὅ ἐστιν ἀπόνασθαι, ἀπολαῦσαι. * [ἄλγιον—ἔσσεται] ἐπὶ βλάβῃ τῇ ἑαυτοῦ ποιήσει.

18 309 * [καὶ τὸν ἐλπίζοντα—ἀναιρεθῆναι. * [ἀδινοῦ] φοβεροῦ, γοεροῦ, θρηνώδους.

18 317 ἀμφίβολον—πρότερον. ὑπὸ σκύμνους] ὀξυτονουμένης μὲν τῆς πρώτης συλλαβῆς τὰ τοῦ λέοντος δηλοῖ ἔγγονα, βαρυνομένης δὲ τὰ τῶν ἄλλων ζῴων.

18 321 [ἄγκεα] τοὺς συνδένδρους τόπους τῶν ὀρῶν. [Ὀπόεντα] Ὀποῦντα.

18 326 πόλις Λοκρίδος. [καμόμεσθα] μετὰ κακοπαθείας ἐκτησάμεθα καὶ πόνου.

18 344 [ἀμφὶ—τρίποδα] ἐν τῷ πυρὶ θερμᾶναι τὸ ὕδωρ. [λοετροχόον] ἐξ οὗ τὰ λουτρὰ καὶ καθάρσια γίνονται.

18 351 [ἐννεώροιο] ἐνναετοῦς, παλαιοῦ· ὧρος γὰρ ὁ χρόνος. * [ἑανῷ λιτί] λεπτῷ πέπλῳ, λιτῷ, ἀποικίλῳ ὑφάσματι.

18 352 Gen II ajoute: παρὰ τὸ ἕννυσθαι [ἔπρηξας] ἐξετέλεσας—τὸν Ἀχιλλέα.

18 362 βροτός] προσληπτέον τὸ κακόν, ἵν᾽ ᾖ· καὶ μὴν ἄνθρωπος ἀνθρώπῳ κακὸν κατασκευάζει. [ἐείκοσι πάντας] περισσὸν τὸ «πάντας», εἴκοσι δέ.

18 375 ἑκάστῳ δὲ πυθμένι χρυσοῦς κύκλους ἐπέβαλλεν. [θεῖον δυσαίατ’ ἀγῶνα] εἰς τὰ τῶν θεῶν τεμένη καὶ ἀθροίσματα.

18 378 [ἔχον τέλος] τὸ μὲν λοιπὸν παντελῶς ἔσχον, ὅ ἐστιν ἐπετετελείωντο. [δεσμούς] ἥλους—τρίποδος.

18 382 [λιπαροκρήδεμνος] ἤτοι λαμπρὰ ἔχουσα—ἐλαίου. [τανύπεπλε] τεταμένον ἔχουσα τὸν πέπλον, κοσμία.

18 386 [οὔτι θαμίζεις] πυκνῶς οὐ παρεγένου. [ὧδε] οὕτως ὡς ἔχεις.

18 394 [δεινή] νῦν ἡ θαυμαστή. ** [τότ’ ἂν] γράφεται «τότ’ ἄρ».

18 399 ἀψορρόου] εἰς τοὐπίσω ῥέοντος, ὑποχωροῦντος, ἢ τοῦ ταχέως ῥέοντος, καθὸ πέριξ ἔχει τὴν γῆν. [τῇσι παρ’ εἰνάετες] παρ’ αἷς.

18 400 ἀναστροφὴ ὁ τρόπος. [πόρπας] πόρπαι αἷς αἱ χλανίδες καταβάλλονται, περόναι ἢ φίβλαι.

18 401 γναμπτάς θ’ ἕλικας] ἐπικαμπεῖς. λέγει δὲ—καλούμενα. D. Gen III ajoute ἢ ἐνώτια. κάλυκας] σωληνίσκους—αἱ περόναι. [μορμύρων] φοβερῶς—ἀναζέων. [5]

18 405 ** [ἴσαν] γράφεται 〈«ἔσαν», τουτέστιν〉 ἦσαν, ἀντὶ τοῦ ὑπῆρχον. ἀκμοθέτοιο] τόπῳ—κορμῷ.

18 410 πέλωρ αἴητον] πέλωρ μέγιστον. «αἴητον» δὲ τὸ μέγα. ἢ πελώριος —μεγέθους. [ὑπὸ δὲ—ἀραιαί] αἱ δὲ ἀσθενεῖς καὶ λεπταὶ αὐτοῦ κνῆμαι ὑπεκινοῦντο μετὰ κακοπαθείας.

18 412 [ὅπλα] νῦν τὰ χαλκευτικὰ ἐργαλεῖα. [τοῖς ἐπονεῖτο] οἷς εἰργάζετο καὶ ἐνήργει.

18 417 ὑπὸ δ’—ἄνακτι] συνεξώρμων αὐτῷ καὶ αἱ θεραπαινίδες. [ἀθανάτων—ἴσασιν] παρὰ δὲ τῶν θεῶν τὰ ἔργα εἰσὶ δεδιδαγμέναι.

18 421 [ἔρρων] κυρίως μὲν μετὰ κακοπαθείας 〈πορευόμενοσ〉, νῦν δὲ μόλις διὰ τὴν χωλότητα. ἄλλα δέ μοι νῦν] ἀπὸ κοινοῦ προσληπτέον τὸ «ἔδωκε κακά».

18 444 [ἐξέλον] ἢ «ἔξελον». [ὃ γὰρ ἦν οἱ] ὃς γὰρ ἦν αὐτῷ.

18 470 [χοάνοισιν] χώνοις, οἷς χωνεύεται τὰ μέταλλα. [ῥαιστῆρα] σφῦραν—ῥαίζειν.

18 477 πυράγρην] τὸν χαλκευτικὸν—παρὰ τὸ ἐν πυρὶ ἀγρεύειν. πάντοσε δαιδάλλων] εἰς πᾶν—αὐτό.

18 479 [ἄντυγα] τὸν ἔξωθεν τῆς ἀσπίδος κύκλον. τρίπλακα] τριπλῆν, τρίπτυχον· πτύχες γὰρ τὰ ἐλάσματα τῆς ἀσπίδος.

18 481 ** [ἐν] γράφεται «ἐπ’». [ἐν μὲν—οὐρανὸν] ἐγκατεσκεύασε μὲν τῇ ἀσπίδι οὐρανὸν καὶ γῆν.

18 484 σελήνην τε πλήθουσαν] τὴν οἷον—νέον. τείρεα] τὰ ἄστρα, παρὰ τὸ τερατώδη καὶ σημειώδη ταῦτα εἶναι.

18 485 [τά τ’ οὐρανὸς ἐστεφάνωται] οἷς κεκόσμηται ὁ οὐρανός. * [Πληϊάδας] ἑπτὰ ἀστέρες οὗτοι 〈οἱ〉 κείμενοι ἐπὶ τῇ οὐρᾷ τοῦ ταύρου.

18 486 * Ὑάδας] οἱ ἐπὶ τῶν κεράτων—ὁμοιότητα, ἢ ὅτι ὑετῶν 〈καὶ ὄμβρων αἴτιοι καθίστανται〉. * τό τε σθένος Ὠρίωνος] ὁ Ὠρίων ἄστρον μέγιστον ἐν τῷ οὐρανῷ, Διὸς—παῖς. * ἄρκτόν θ’—καλέουσιν] δύο ἄρκτοι δείκνυνται —κλίματι· ἡ μεγάλη, ἡ λεγομένη ἅμαξα, διὰ τὸ εἰς ἁμάξης τύπον γεγενῆσθαι καὶ ἡ ἐγγὺς—ἀνακεκλασμένην. [5]

18 488 * ἥτ’ αὐτοῦ στρέφεται] ἥτις περὶ τὸν ἀρκτικὸν καὶ μὴ φαινόμενον κύκλον στρέφεται—εἰς αὐτόν. * ἀντὶ τοῦ—οὖσαν ἐν 〈τῷ〉 ἀειφανεῖ.

18 490 διὰ ποίαν δὲ αἰτίαν—ἐνδέδεται χθών». [δαΐδων ὕπο] ἀντὶ τοῦ μετὰ λαμπάδων.

18 493 [πολὺς—ὀρώρει] ἐξῆπτο—ὃν ἐκάλουν ὑμέναιον. [ἔνθα δὲ—ὀρώρει] δικαστήριον εἰσάγει —πεφονευμένου ἐπ 〈ιτίμια〉, ὁ δὲ ἐγκαλῶν— ποινή.

18 500

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[δήμῳ πιφαύσκων] τῷ κοινῷ παντὶ δεικνὺς καὶ ἐμφανίζων. ἀμφότεροι δὲ ἐβουλεύοντο ἐπὶ μαρτυρίᾳ δικάσασθαι, τουτέστι παρέχοντες μάρτυρας, ὁ μὲν τοῦ δεδωκέναι, ὁ δὲ τοῦ μὴ εἰληφέναι τὰ ὑποφόνια.

18 501bis * [ἴστορι] μάρτυρι ἢ κριτῇ. * [ἱέσθην ἐπὶ ἴστορι πεῖραρ ἑλέσθαι] προεθυμοῦντο, ἔσπευδον, πέρας τὴν δίκην λαβεῖν. [ἱερῷ ἐνὶ κύκλῳ] τῷ μεγίστῳ δικαστηρίῳ.

18 504 πᾶν τὸ δίκαιον ἀποδιδόντες ἑκάστῳ ἐν ἀφιερωμένῳ 〈τόπῳ κάθηνται οἱ〉 γέροντες. [ἠεροφώνων] μεγαλοφώνων, ἢ τῶν τὸν ἀέρα πληττόντων τῇ φωνῇ.

18 506 * ἐναλλὰξ δὲ ἀκούοντες ἐδίκαζον, κατὰ ἐναλλαγὴν ἀπέφαινον τὴν ἑαυτοῦ γνώμην ἕκαστος. [ἤϊσσον] ἀντὶ τοῦ σὺν τοῖς σκήπτροις ἐπὶ τὸ δημηγορεῖν ὥρμων. ἔνιοι δὲ 〈ἀντὶ τοῦ〉 ἔσειον, κατεσίγαζον, ἢ ὅτι ἀεὶ συνδιετίθε〈ν〉το τοῖς λόγοις. ἀμφὶ—λαῶν] ἓν στράτευμα—πολιορκία γὰρ ἦν. [5]

18 510 δίχα—βουλή] σημειοῦνται ὅτι ἐπιστρατεύσαντες πόλει—κτημάτων. τεῖχος—ἄλοχοί τε] τὸ «ἐφεσταότες» 〈καὶ〉 τὸ «ἀνέρες» στικτέον.

18 531 * [εἰράων] εἴρην ὄνομα ἡλικίας, παρὰ τὸ εἴρειν καὶ λέγειν, ὁ ἤδη λέγων καὶ δημηγορῶν· καὶ γὰρ τὰς ἐκκλησίας εἴρας προσηγόρευον. Ὅμηρος· «εἰράων προπάροιθε καθήμενοι». [εἰράων προπάροιθε] πρὸ τῶν ἀγορῶν, ὅ ἐστιν ἐκκλησιῶν, ἀπὸ τοῦ εἴρειν ἐν αὐταῖς καὶ λέγειν, ὅθεν καὶ Ἶρις.

18 538 * [δαφοινεὸν.] φοινικοῦ χρώματος πεποιημένον, ἢ αἵματι διάβροχον, πεφοινιγμένον. [νειόν] νεωστὶ ἠροτριασμένην ἁπαλὴν καὶ—τοιαύτη.

18 542 * [τρίπολον] πολλάκις ἠροτριασμένην. * οἱ δὲ ἀροῦντες γεωργοὶ, ὁπότε τὸν δίαυλον τῶν αὐλάκων συντελέσαντες πάλιν ἐπὶ τὸ τέλος τῆς ἀρούρας ἀφίκοιντο, μεταστρέψαντες τὰ ἄροτρα καὶ τὰ ζεύγη τῶν βοῶν.

18 544 [τρίπολον] τρὶς ἐστραμμένην καὶ ἠροτριασμένην. * [ὄγμους] τὰς ἐπιστίχους τάξεις τῶν ἀσταχύων ἄλλοτε, νῦν δὲ τὰς αὔλακάς φησι, ἡ δὲ αὖλαξ φαντασίαν τοῖς ὁρῶσι παρεῖχε κατόπιν τοῦ ἀρότρου ὅτι μελαίνεται.

18 550 [τέμενος] χωρίον εἰς τιμὴν ἀποτετμημένον τινί. * [ἔριθοι] ἄλλως· ἔριθος 〈σημαίνει〉 τὸν ἐργάτην καὶ τὴν γυναῖκα τὴν ἐργαζομένην τὰ ἔρια.

18 550bis καὶ ἐπὶ μὲν τοῦ ἐργάτου ἐκ τοῦ ἔρα, ὅ ἐστιν ἡ γῆ, κατὰ μετάθεσιν τοῦ α εἰς ι , ἐπὶ δὲ τῆς γυναικὸς ἐκ τοῦ ἔριον γέγονεν ἔριθος. [ἔριθοι] κυρίως μὲν 〈οἱ〉 ἐριουργοί, καταχρηστικῶς δὲ καὶ οἱ μισθοῦ ἐργαζόμενοι. * [δράγματα] εἴρηται παρὰ τὸ δράξασθαι, τὸ σημαῖνον τὸ λαβεῖν. [5]

18 552 σημαίνει δὲ τοὺς ἀστάχυας ὅσους δύναται ὁ θεριστὴς τῆς ἀρούρας περιλαβεῖν. * [ἐλλεδανοῖσι] σχοινία οὕτως φησὶν ἐν οἷς δεσμοῦσι τὰς ἀμάλας, ἀμάλα δὲ ἡ ἐκ πολλῶν δραγμάτων ἀναγωγή.

18 553 [ἀμαλλοδοτῆρες] οἱ τὰς ἀμάλλας ποιοῦντες. ἄμαλλαι δὲ 〈αἱ〉 ἀσταχύων 〈δεσμαί〉. [βασιλεὺς] νῦν ὁ τοῦ χωρίου δεσπότης.

18 561 * [ἀλωὴν] ἐνταῦθα ἀμπελοφόρον χώραν. πᾶσα ἐκεχαράκωτο ἡ ἄμπελος.

18 563 «κάμαξιν» οὖν στύλοις— ταῖς ἀμπέλοις. * [κάμαξι] τοῖς χαρακώμασι τῆς ἀμπέλου λέγει νῦν.

18 564 [περὶ—ἔλασσε] ἐποίησεν εἰς μῆκος. * [ἀμφὶ δὲ κυανέην κάπετον .

18 564bis .. ἔλασσε] τάφρον περιέβαλεν τῷ ἀμπέλῳ ἐκ μέλανος χαλκοῦ. [περὶ δ’ ἕρκος—κασσιτέρου] τειχίον ἔξω περιέβαλεν ἐκ κασσιτέρου.

18 566 * [φορῆες] οἱ τὸν καρπὸν τῶν σταφυλῶν παραφέροντες * [ἀταλὰ] τρυφερὰ—καὶ οὐ φρονέουσαι.

18 570 ** [αἶνον] γράφεται «λίνον». [ῥήσσοντες] ἀντὶ τοῦ κροτοῦντες—τὸ ἔδαφος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

18 572 [μολπῇ] προσληπτέον σύν. ἰωγμῷ] ὅ ἐστι διώξει. * [ἀπὸ κόπρου—νομὸν δὲ] ἐκ τῆς ἐπαύλεως ὥρμων καὶ ἐξῇεσαν εἰς τὴν νομήν.

18 576 * ῥοδανὸν] διὰ τοὺς ἐν αὐτῷ πεφυκότας καλάμους εὐδιάσειστον, εὐκίνητον. Ῥοδανὸν] ποταμὸς πλησίον τοῦ Ὠκεανοῦ. δονακῆα] δόνακας ἔχοντα καὶ καλάμους. * [ἐρύγμηλον] μέγα μυκώμενον ἢ ἀνερευγόμενον τὴν τροφήν.

18 584 * [ἐνδίεσαν] ἐπέσιξαν τοῖς λέουσι παρορμῶντες αὐτούς. ἐπισίζω δέ ἐστι τὸ ἀγριαίνω καὶ παροξύνω τῷ σιγμῷ τῆς φωνῆς. * [βήσσῃ] βῆσσα ὁ βασιμώτατος καὶ ὑψηλὸς τόπος.

18 589 * [κλισίας] νῦν τὰς τῶν ποιμένων καταγωγάς. ἐν δὲ χορὸν ποίκιλλε] ἐγκατεσκεύασε δὲ ἐπιμελῶς ὁ Ἥφαιστος —τῆς Κρήτης.

18 590 * [ποίκιλλε] ποικίλῃ τορνεύσει ἐποίει. καλλιπλοκάμῳ Ἀριάδνῃ] .

18 593 .... οἱ Ἀθηναίοι— ἐποίησαν. ἀλφεσίβοιαι] ἔντιμοι—ἄλλων.

18 594 [ἔχοντες] ὀρθῶς καὶ τοῦτο—πέφρακεν. [ἐϋννήτους] εὖ νενησμένους, λεπτούς.

18 597 * [στεφάνας] κόσμους—κειμένους. [θρέξασκον] ἐν κύκλῳ ἔτρεχον.

18 600 διὰ τῆς τοῦ τροχοῦ—ὑφιστᾷ. [ἄντυγα πὰρ πυμάτην σάκεος] παρὰ τὸ ἔσχατον μέρος τῆς ἀσπίδος πέριξ.

18 608 [πύκα ποιητοῖο] ἐπιμελῶς καὶ συνεχῶς κατεσκευασμένου. [ἑανοῦ] λαμπροῦ, ποικίλου, εὐχύτου, ἁπαλοῦ.

19 13 [ἀνέβραχε] ποιὸν ἦχον ἀπετέλεσεν. οἷ'—ἀθανάτων] ὁποῖα θεοῦ ἔργα εἶναι, τουτέστιν οἷα πρέπει θεὸν παρασχεῖν.

19 26 σκώληκας ἐγγενήσωσιν—εἴλησιν. ἐκ δ' αἰὼν 〈πέφαται〉 ] ἤτοι ἀνῄρηται ὁ βίος, ὅ ἐστι— ὁ νωτιαῖος μυελός.

19 27 * τοῦ αἰῶνος αὐτοῦ ἀνῃρημένου, ὅ ἐστι τοῦ βίου ἀπολωλότος, ἀναγκαίως εἰς σκώληκας μετῆλθε τὸ σῶμα σαπησόμενον. [ἀρηϊφάτους] ἐν πολέμοις πεφονευμένους, ἢ σιδήρῳ· καὶ γὰρ ὁ σίδηρος Ἄρης.

19 32 [τελεσφόρον] τὸν πάντα τελειοῦντα—φέροντα. [ταμίαι] οἱ φύλακες τῶν πρὸς τροφὴν, οἱ κελλάριοι.

19 45 εἰς ἀγορὴν ἴσαν] εἰς τὴν ἐκκλησίαν συνηθροίζοντο. [Λυρνησσὸν] πόλις τῆς Ὑποπλακίης Θήβης τῆς Κιλικίας.

19 61 [τῶ κ' οὐ τόσσοι] οὕτως ἂν οὐ τοσοῦτοι. [ὀδὰξ—οὖδας] ἔδακον τὴν γῆν ἀναιρεθέντες. * [ἀσκελέως] ἄγαν σκληρῶς, ἀμεταστρέπτως.

19 68 * [μενεαινέμεν] θυμοῦσθαι. * [γόνυ κάμψειν] καθέζεσθαι καὶ ἀναπαύεσθαι.

19 79–80 ἑσταότος μὲν—ὑββαλεῖν] εἰδὼς ὁ Ἀγαμέμνων —δημηγορεῖν. ἔστι γὰρ χαλεπώτατον, κἂν ἐπιστήμων ᾖ ὁ ῥήτωρ, ὑποκρουόμενον λέγειν.

19 83 Πηλεΐδῃ μὲν ἐγὼν ἐνδείξομαι] οἷον τὴν ἀπότασιν— ἀπολογήσομαι. ἐζήτηται δὲ διὰ ποίαν αἰτίαν—ἀναμείναντες. * [σύνθεσθε] οἱ δὲ ἄλλοι ἀκούσαντες εἴπατε τοῖς μὴ ἀκούσασιν.

19 87 * [ἠεροφοῖτις] ἡ διὰ τοῦ σκότους φοιτῶσα καὶ ἐπερχομένη τιμωρὸς τοῖς ἀδικήμασιν. ἔστι δὲ—ἔργα. * [θεὸς διὰ πάντα τελευτᾷ] θεὸς γὰρ ἐν πᾶσι τοῖς πραττομένοις τέλος ἐπάγει.

19 91 * [πρέσβα] πρεσβυτέραν καὶ ἐντιμοτέραν Διὸς θυγατέρα τὴν Ἄτην ὑπέθετο, ὅτι Διὸς γνώμῃ γίνεται καὶ τὰ ἀγαθὰ καὶ τὰ κακά. ἢ κατ' εὐφημίαν εἴρηκε· καὶ γὰρ Ἀθηναῖοι τὰς Ἐρινύας Εὐμενίδας καλοῦσιν. * [τῇ μέν θ' ἁπαλοὶ πόδες] διότι ἀναισθήτως ἡμῖν ἔπεισι τὰ κακὰ, διὰ τοῦτο ἁπαλοὺς πόδας φησὶ τῆς Ἄτης.

19 93

Eulogikon public reading copy · View original HTML at eulogikon.org

* [πίλναται] προσπελάζει. ἐπὶ τὰς κεφαλὰς τῶν ἀνθρώπων τὴν Ἄτην φησὶ βαδίζειν. [ἕτερόν γ' ἐπέδησε] ἕτερον ἀνθ' ἑτέρου κατέσχεν ἡ Ἄτη.

19 94 νῦν δὲ ἔβλαψεν. ἄλλως ἕνα γοῦν τινα ἔβλαψεν, ὅτι μὴ πολλούς. [ἐϋστεφάνῳ] κατατετειχισμένῃ—τετειχίσθαι.

19 103 μογοστόκος] ἡ περὶ τὰς τίκτουσας κοπιῶσα, ἢ ἡ τοὺς μόγους ἐπικουφίζουσα τῶν τικτουσῶν. * [αἵματος] σπέρματος, γένους.

19 110 [πέσῃ μετὰ ποσσὶ γυναικὸς] γεννηθῇ, ἀπὸ τοῦ παρακολουθοῦντος. [μέγαν ὅρκον] Στυγὸς ὕδωρ.

19 113 τὴν Στύγα, τῶν Ὠκεανοῦ παίδων οὖσαν καὶ αὐτὴν μίαν ἀδελφὴν, τιμιωτάτην μετὰ τὴν τῶν Οὐρανίων θεῶν μάχην 〈καὶ〉 τῶν λεγομένων Τιτάνων εἶναι συνέβη διὰ τήνδε τὴν αἰτίαν· οἱ περὶ Κρόνον Οὐρανοῦ παῖδες ἀρχαῖοι Τιτᾶνες τοῖς ἀμφὶ τὸν Δία νεωτέροις θεοῖς πόλεμον ἤραντο καὶ τοῦτο πράττειν δι' ἐπιβουλῆς ἔγνωσαν. 〈οἱ δὲ τῆς Στυγὸς παῖδες ἐλθόντες σὺν τῇ μητρὶ εἰς τὸν Ὄλυμπον〉 δηλοῦσι τοῦτο Διὶ καὶ ἀξιοῦσιν αὐτοῖς συγκροτεῖσθαι τῷ τούτου τοῦ πολέμου καιρῷ, 〈ὥστε Δία〉 τιμῆσαι τὴν Στύγα καὶ τὸ τῆς Στυγὸς ὕδωρ ὅρκον θεῶν ποιῆσαι. ἡ ἱστορία παρ' Ἡσιόδῳ ἐν Θεογονίᾳ. ἰφθίμην ἄλοχον] τὴν Θεσσάλου—Λευκίππη. [10]

19 117 εἱστήκει μείς] μὴν Αἰολικῶς—κατ' ἀναλογίαν. * [ἠλιτόμηνον] τὸν διημαρτηκότα τοῦ καθήκοντος μηνὸς εἰς τὸ τεχθῆναι· ἁλιτεῖν γὰρ τὸ ἁμαρτεῖν καὶ ἀποτυχεῖν.

19 118 ἄλλως· διημαρτηκότα τοῦ τελείου ἀριθμοῦ τῶν ἐννέα μηνῶν· ἑπταμηναῖος γὰρ ὁ Εὐρυσθεὺς ἦν. Ἀλκμήνης δ' ἀνέπαυσε] Ζεὺς μιγεὶς—μετέλαβεν.

19 121 [ἀργικέραυνε] λαμπρὸν ἔχων κεραυνόν, ἢ ταχύν. [Σθενέλοιο πάϊς Περσηϊάδαο] ὁ Εὐρυσθεύς· ἦν γὰρ Περσέως ἔγγονος, ὅθεν Περσηϊάδην αὐτόν φησι.

19 124 [οὔ οἱ ἀεικὲς] οὐ δεινὸν καὶ ἀεικὲς καὶ ἀπεοικός, οὐ χαλεπὸν αὐτῷ. ἀφείλετο δὲ ἐκ τῆς αὑτοῦ βαθυπλοκάμου κεφαλῆς τὴν Ἄτην.

19 126 οἱ δὲ ἐκ τῆς ἠλειμμένους πλοκάμους ἐχούσης. [τὴν αἰεὶ στενάχεσκε] δι' ἣν ἄτην ἀεὶ ἔστενεν.

19 147 τὰ μὲν δῶρα εἴτε θέλεις παρασχεῖν εἴτε καὶ παρ' ἑαυτῷ ἔχειν ἐν σοί ἐστιν. [κλοτοπεύειν] ἤτοι ὑποκλέπτειν αὐτοὺς τῆς μάχης ἐν τοῖς λόγοις ἢ ἐν ἔργῳ τινὶ ἐπιθυμεῖν.

19 150 ἔτι—ἄρεκτον] ἀτελείωτον, ἄπρακτον. ἤτοι δὲ περὶ τῆς Πατρόκλου ταφῆς λέγεται ἢ τῆς τοῦ Ἕκτορος ἀναιρέσεως. [πρῶτον] νῦν καθάπαξ.

19 158 [εὖτ' ἂν ... ὁμιλήσωσι φάλαγγες] εἰς ταὐτὸ συνέλθωσιν αἱ τῶν στρατιωτῶν τάξεις πολεμῆσαι [τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή] τοῦτο γὰρ τῆς θρεπτικῆς δυνάμεώς ἐστι παρασκευαστικόν.

19 172 [ὅπλεσθαι] παρασκευάσασθαι εἰς τὸν πόλεμον. [ἀρεσάσθω] διαρέσκειαν θεραπευσάτω, φιλοφρονησάσθω.

19 180 [πιείρῃ] λιπαρᾷ, δαψιλεῖ, πολυτελεῖ. ἔστι δὲ μεταφορά. ἵνα μηδὲν ἐλλείπῃ τῶν ὀφειλόντων πρὸς σὲ δικαίως πραχθῆναι.

19 183 οὐ μὲν—ἐπαρέσσασθαι] ἢ οὐ μεμπτὸν γὰρ ὑπάρχει βασιλέα φιλιοῦσθαι. [ὅτε τις χαλεπήνῃ] κακῶς βλάψῃ, ὅ ἐστιν εἰς ὀργὴν ἔλθῃ. ἄλλοτέ ποτε ταῦτα δρᾶν ὀφείλετε παυσαμένου τοῦ πολέμου καὶ μὴ τοσαύτης ὀργῆς κατεχούσης μου τὴν ψυχήν.

19 208 ἐπειδὰν τὴν ὑπὲρ τῶν ἀποθανόντων ὕβριν καὶ βλάβην ἐκδικήσωμεν. [κεῖται ἀνὰ πρόθυρον] κεῖται—εἰς τοὺς οἴκους.

19 213 [τό μοι] διό μοι. [ἐπεὶ πρότερος γενόμην] ἐπειδὴ πρεσβύτερος ὑπάρχω.

19 221 ταχέως γὰρ κόρος λαμβάνει τοὺς ἀνθρώπους ἐν τῇ μάχῃ· ὀλίγοι γάρ εἰσιν οἱ ἀπολειπόμενοι ζῶντες, πολλοὶ δὲ οἱ φονευόμενοι. [καλάμην] καλάμην δὲ κυρίως τὸ ξυλῶδες τῶν ἀσταχύων.

19 222

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ τοὺς στάχυς περιφραστικῶς. ἀλληγορικῶς οὖν «καλάμην» νῦν κέκληκε τὰ σώματα τῶν ἀνῃρημένων, ἄμητον δὲ τὸν τοῦ θέρους καιρὸν, θέλων δηλῶσαι ὅτι τροπῆς ἐκ Διὸς γενομένης πολλοὶ πίπτουσι κατὰ τὸν πόλεμον. ἄμητος] προπαροξυτόνως μὲν ὁ ἀμώμενος καὶ θεριζόμενος καρπὸς σίτου, ἀμητὸς δὲ ὀξυτόνως ὁ καιρὸς τοῦ θέρους. [5]

19 223 [ἐπὴν κλίνῃσι τάλαντα] ὁπόταν τροπὴν ἐργάσηται ὁ Ζεύς. [ὀπάσσατο] ἐφώνησεν, προσεταιρίσατο, ἀκόλουθον ἔλαβεν.

19 247 στήσας] ἀριθμήσας—εἴρηνται. [μὴ μὲν] ἢ «πῆ μὲν», ἀντὶ τοῦ ποῦ; ὡς οὔτε τῆς συνουσίας χρῄζων ἀφειλόμην.

19 263 * [ἀπροτίμαστος] ἀνύβριστος, ἀνεπίψαυστος, ἄχραντος, ἄθικτος συνουσίας καὶ μίξεως ἀνδρῶν. [ὅ τι σφ’ ἀλίτηται ὀμόσσας] ὅστις ἁμάρτῃ ἐπιορκήσας.

19 268 τὸν μὲν Ταλθύβιος—ῥῖψ’ ἐπιδινήσας] ἐπιστραφεὶς, φησὶν, ἔρριψεν εἰς θάλασσαν τὸν κάπρον. σημειωτέον ὅτι—ἢ ἔκαιον, ὡς ἐν τῇ Γ φησίν. [ἀμήχανος ἀλλά ποθι Ζεὺς] ὥστε τὸν Δία ἀμήχανον δηλοῦσθαι, ὅ ἐστι κακομήχανον.

19 284 [χυμένη] περιπλακεῖσα τῷ Πατρόκλῳ δηλονότι. * [χερσὶ δ’ ἄμυσσε] κατέξεε τοῖς ὄνυξι, ἐσπάρασσεν. * [ὥς μοι—αἰεί] ὡς ἐν ἀδιαλείπτοις γινόμεθα τοῖς δεινοῖς.

19 294 * κηδείους] εὐνουστάτους καὶ μᾶλλον διαφέροντας τῇ συγγενείᾳ, φροντίδος ἀξίους. [ἄτομον] ἢ «ἄμοτον», ἀπληρώτως.

19 302 αἱ δὲ λοιπαὶ γυναῖκες σὺν τῇ Βρισηΐδι δῆθεν ὡς ἐπὶ προφάσει Πατρόκλου ἔκλαιον, τῇ δὲ ἀληθείᾳ ἑκάστη αὐτῶν ἐθρήνει τὴν ἑαυτῆς συμφοράν. [τέρποντες] ἀντὶ τοῦ τέρπειν βουλόμενοι, παρηγοροῦντες.

19 314 * [ἀδινῶς ἀνενείκατο] ἀθρόως, οἰκτρῶς καὶ ἐλεεινῶς ἀνέκραξεν, οἷον ἀνεστέναξεν καὶ πολὺ ἤγαγε πνεῦμα. αἶψα καὶ ὀτραλέως] ἐνεργῶς καὶ σπουδαίως.

19 317 〈δὶσ〉 τὸ αὐτὸ εἶπεν ἐπιτάσεως χάριν. [κακώτερον] χεῖρον.

19 321 ἢ κατώτερον. [εἴβει] 〈λείβει〉 λέγει.

19 323 δὲ κυρίως μὲν σπένδει, ἄρτι δὲ προχεῖ, στάζει. [Σκύρῳ] μία τῶν Κυκλάδων νήσων.

19 326 Ἀλεξάνδρου Ἑλένην—παρὰ τοῖς κυκλικοῖς. ἅρπῃ] εἶδος ὀρνέου, ὅ τινες ἰκτῖνον—δρέπανον.

19 354 [ἀτερπὴς] ἀηδής, χαλεπός, διὰ τὸ συνεκτικὸν εἶναι παντὸς τοῦ σώματος. [αἰθρηγενέος] τοῦ αἴθρας ποιοῦντος.

19 361 * [κραταιγύαλοι] ἰσχυρὰ κοιλώματα ἔχοντες· γύαλα 〈γὰρ〉 τὰ κοιλώματα. γέλασσε] ἐγανώθη, φαιδροτέρα τῇ λαμπηδόνι ἐγένετο τῶν ὅπλων.

19 377 [οἰοπόλῳ] ἐν ᾧ 〈οἱ〉 ὄϊες πωλοῦνται καὶ ἀναστρέφονται. * εἰ αὐτῷ ἐφαρμόζοι τὰ ὅπλα καὶ μήτι ἐμποδίζοι, ἀλλ’ εὐκόλως ἐν αὐτοῖς κινοῖτο.

19 385 ἀκωλύτως χρῷτο, ὥστε μὴ ἐμποδίζεσθαι. * [εὖτε πτερὰ] τῷ δ’ Ἀχιλλεῖ κοῦφα ἦν τὰ ὅπλα οἱονεὶ πτερὰ * [ἄειρε δὲ] κουφότερον δὲ αὐτὸν ταῦτα ἐποίει.

19 390 [Πηλιάδα μελίην] τὴν ἐκ Πηλίου ὄρους Θεσσαλίας τμηθεῖσαν. λέγει δὲ τὸ δόρυ. μελία δὲ εἶδος δένδρου ἐπιτηδείου πρὸς κατασκευὴν δοράτων. [Ἄλκιμος] Ἀλκιμέδων ὑποκοριστικῶς.

19 393 * [λέπαδνα] οἱ μασχαλιστῆρες, οἱ ὑποτραχήλιοι ἱμάντες. * [ἠλέκτωρ Ὑπερίων] ἐπίθετα ταῦτα τοῦ θεοῦ.

19 398 ἠλέκτωρ ὁ λαμπρός, παρὰ τὴν τοῦ ἠλέκτρου ὁμοιότητα, ἢ ὁ ἀκοίμητος, οἱονεὶ ὁ ἄλεκτρος. * [ἐπεί χ’ ἑῶμεν] ἐπὰν ἐμβάλωμεν εἰς τὸν πόλεμον, ἐπὰν προέλθωμεν.

19 402bis τινὲς «χέομεν» ἀντὶ τοῦ ὑποχωρήσομεν. [αἰόλος] ἀντὶ τοῦ ταχύς. [ἤμυσε] εἰς τὴν γῆν ἔκλινεν τὴν κεφαλὴν αὐτοῦ— διαλέγεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

19 417 [θεῷ καὶ ἀνέρι] ὑπὸ θεοῦ Ἀπόλλωνος καὶ ἀνδρὸς Ἀλεξάνδρου. οὕτως εἰπόντος—γίνεσθαι.

19 423 [ἅδην] ἢ «ἅδην», ἀντὶ τοῦ δαψιλῶς, ἱκανῶς. θρωσμῷ] ὑψηλῷ τόπῳ, ὅθεν καὶ καταθορεῖν καὶ πηδῆσαι 〈ἔστιν〉.

20 3 ἔστι δὲ οὗτος ἐν Ἰλίῳ. Θέμιστα] ἀντὶ τοῦ Θέμιν, Δικαιοσύνην, ἥτις ἐστὶ μία τῶν Τιτανίδων.

20 7 τὸν δὲ Ὠκεανὸν οὐ παρέβαλεν—ὑπάρχων. διὰ ποίαν δὲ αἰτίαν μόνος ὁ Ὠκεανὸς ποταμὸς οὐ πάρεστι τῇ ἐκκλησίᾳ τῶν θεῶν; ῥητέον δὲ ἐπεὶ συνεκτικὸν ἔχει τὸ τοῦ κόσμου ῥεῦμα· φησὶ γάρ· «Ὠκεανὸς, ᾧ πᾶσα περίρρυτος ἐνδέδεται χθών». [ὑπὲρ μόρον] παρὰ τὸ εἱμαρμένον, παρὰ τὸ δέον.

20 34 [ἐριούνης] μεγάλην ὄνησιν παρέχων, μεγαλωφελής. * ἀκερσεκόμης] μὴ κειρόμενος—Ἀπόλλων.

20 48 αὖεν] ἐφώνει, ἐβόα· ἐὰν δὲ δασύνηται, ἐξέκαιεν, [ἐπ’ ἀκτάων] ἐπὶ τῶν αἰγιαλῶν—προβεβλημένων.

20 53 [θεῶν ἐπὶ Καλλικολώνῃ] τόπος ἐστὶν ὑψηλὸς ἐν τῇ Τροίᾳ κάλλει διαφέρων, διὸ ἐκλήθη «θεῶν Καλλικολώνη». ἀπειρεσίην] ἄπειρον, μεγάλην, ἢ πέρας μὴ—εἶναι.

20 59 [πόδες] τὰ καταλήγοντα τῶν ὀρῶν μεταφορικῶς. Gen. ajoute: αἱ ὑπώρειαι. ἤτοι μὲν—ἄνακτος] καὶ τὰ ἑξῆς· ἡ τῶν θεῶν μάχη —τοῦ ὕδατος.

20 69 ἄντα δ’ Ἐνυαλίοιο] ἐξ ἐναντίας—δαίμονος. χρυσηλάκατος] ἐργατικὴ—κυνηγοί.

20 72 σῶκος] ἤτοι—θεός. ὃν Ξάνθον καλέουσι] τῶν διωνύμων—ἀνθρώπους.

20 74 διὰ τί δὲ κατὰ τὸν—ἀλλήλοις; Ποσειδῶν μὲν —τοῦ ὑγροῦ. [ἀπειλαί] νῦν καυχήσεις.

20 84 [οἰνοποτάζων] τῶν δημοσίων—εὐωχούμενος. [Πήδασον] ποταμὸς Ἑλλησπόντου καὶ πόλις.

20 96 [Λέλεγας] τοὺς ἐν Ἑλλησπόντῳ—κατοικοῦντας. ἶσον—τέλος] ἶσον ποιήσειε τὸ τέλος τοῦ πολέμου μηδετέρῳ βοηθῶν.

20 109 [ἀρειῇ] ἀπειλῇ, οἱ δὲ βλαβῇ. ἀπὸ τοῦ Ἄρεος. [ἣ δ’ ἄμυδις—θεοὺς] ἔστη δὲ θεοὺς ὁμοῦ συγκαλέσασα.

20 123 [οἳ τὸ πάρος περ] νῦν οἳ ἐξ ἀρχῆς. εἰ δ’ Ἀχιλλεὺς οὐκ ἀκούσεται ἐκ τῆς θείας φωνῆς, τουτέστιν ἡμῶν αὐτῶν.

20 131 [χαλεποὶ δὲ—ἐναργεῖς] χαλεποὶ δὲ καὶ δεινοὶ οἱ θεοὶ εἰς φανερὸν φαινόμενοι τοῖς ἀνθρώποις. ὀρεῖται] ἵν’ ᾖ διεγερθῇ, κινηθῇ.

20 140 εὐθέως οὖν, φησὶ, καὶ ἡμῖν αὐτοῖς φιλονεικία γενήσεται. ἄλλως· Ποσειδῶν—ἱστορεῖ Ἑλλάνικος.

20 150 [ἄρρηκτον] ἀντὶ τοῦ ἄπρακτον. [ὀφρύσι] ἐξοχαῖς μεταφορικῶς.

20 152 [ἤϊε] Ἄπολλον τοξικέ, ἀπὸ τοῦ ἱέναι. [δυσηλεγέος] δεινοῦ, χαλεποῦ, δυσκόλου.

20 157 [κάρκαιρε] ἐκινεῖτο, ἤχει. ὀνοματοποιΐα ὁ τρόπος. [ἐγρόμενοι πᾶς δῆμος] ἐν σχήματι πέφρακεν ἀντὶ τοῦ οἱ δημόται.

20 169 [στένει] στενάζει ἢ στενοχωρεῖται. [ἓε δ’ αὐτὸν—μαχέσασθαι] ἀντὶ τοῦ αὐτὸς δὲ ἑαυτὸν ἀγριοῦσθαι ποιεῖ.

20 172 [γλαυκιόων] πυρῶδες καὶ φοβερὸν βλέπων, ἀφ’ οὗ ἀγριούμενος. [οὐδ’ ἀεσίφρων] οὐδὲ κοῦφος καὶ μάταιος τὸ φρόνημα.

20 195-196 [ὡς ἐνὶ θυμῷ βάλλεαι] ὡς κατὰ διάνοιαν ἐννοεῖ. [νηπύτιον] νηπιόφρονα, ἀνόητον, παῖδα.

20 204 [πρόκλυτα] τὰ ὑπὸ τῶν προτέρων πεφημισμένα, παλαιά. [ἁλοσύδνης] ἐναλίας—κατοικούσης.

20 216 [Δαρδανίην] πόλιν Τροίας. [τάων] λείπει ἡ ἐκ—ἐκ τούτων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

20 223 Gen. ajoute: οὐ γὰρ πασῶν ἠράσθη. ἄκρον ἐπ’ ἀνθερικῶν] νῦν τῶν—λαχανῶδες.

20 247 [νηῦς ἑκατόζυγος] ὑπὸ ἑκατὸν—καθέδραι. [στρεπτὴ] εὐκίνητος, μεταβολὰς πολλὰς ἔχουσα.

20 255 [πόλλ’ ἐτεά τε καὶ οὐκί] πολλὰ μὲν ἀληθῆ καὶ ψευδῆ. [γευσόμεθα] ἀντὶ τοῦ—μεταφορικῶς.

20 260 μύκε] ἐψόφησε, ἤχησεν· ἡ μεταφορὰ ἀπὸ τῆς φωνῆς τῶν βοῶν. «ἀλλὰ δύω μὲν ἔλασσε» ἕως τοῦ «τῇ ῥ’ ἔσχετο χάλκεον»] ἀτρώτων—συνιζήσεως γενομένης.

20 270 [Κυλλοποδίων] χωλός. λέγει δὲ τὸν Ἥφαιστον. κατὰ τὸν ἔξωθεν κύκλον τῆς ἀσπίδος, καθ’ ὃ μέρος τῇ ἀσπίδι λεπτότατος περιέκειτο χαλκός.

20 307 νῦν δὲ—ἀνάξει] Ἀφροδίτη χρησμοῦ— ἱστορεῖ Ἀκουσίλαος. Καύκωνες] οἱ μὲν Τρωϊκὸν ἔθνος—πόλις Λυκίας καὶ Καρίας.

20 332 [ἀτέοντα] ἐνάντη ὄντα, ὅ ἐστι βλαπτόμενον καὶ ἀφροντιστοῦντα αὑτοῦ. τοσσούσδ’ ἀνθρώπους] ὁ Ἀσκαλωνίτης προπερισπᾷ κατὰ δεῖξιν, ὡς τὸ « 〈τοσ〉 σῆσδ’ ὑσμίνης».

20 357 (359) ὁ Ἀρίσταρχος κατὰ παρολκὴν ἐδέξατο τὸν δέ. * [στόμα] τὴν σύστασιν.

20 362 [στιχὸς εἶμι] διὰ τῆς τάξεως ἐλεύσομαι. [φάτο δ’ ἴμεναι ἄντ’ Ἀχιλῆος] ἔλεγε δὲ ἄντικρυς ἐλεύσεσθαι τοῦ Ἀχιλλέως.

20 370 * [κολούσει] ἀκέφαλον, ἀτελὲς ποιήσει, τουτέστιν ἀποτεύξεται πρὸ τοῦ ποιῆσαι. * [Ὕδης] εἰ μὲν διὰ τοῦ δ, πόλις Λυδίας, ἡ 〈νῦν καλουμένη〉 Σάρδις, εἰ δὲ διὰ τοῦ λ, Ὕλη πόλις Βοιωτίας.

20 390-391 * λίμνῃ Γυγαίῃ] οὕτως λίμνη καλουμένη Γυγαίη ἐν Λυδίᾳ, ἢ ἀπό τινος ἐγχωρίου Γύγου καλουμένου ἥρωος, ἢ ἀπὸ Γύγου τοῦ Κανδαύλου, ὃν πρῶτόν φασι βασιλεῦσαι Λυδῶν. Ὕλλος καὶ Ἕρμος ποταμοὶ Λυδίας.

20 404 [ἤρυγεν] ἐμυκήσατο, ἀνερύγγανεν, πνεῦμα σφοδρὸν ἀφῆκεν. [ζωστῆρος ὀχῆες] οἱ συνέχοντες τὸν ζωστῆρα ἵμαντες.

20 418 [προτὶ οἷ δὲ λάβ’ ἔντερα] προσελάβετο τὰ ἑαυτοῦ ἔντερα. [λιαζόμενον ποτὶ γαίῃ] πρὸς τῇ γῇ κεκλιμένον, ὅ ἐστι κείμενον.

20 427 [ἀνὰ πτολέμοιο γεφύρας] τὰ μεταξὺ τῶν πολεμούντων διαστήματα. [αἴσυλα] τὰ παρὰ τὸ καθῆκον γινόμενα, ἄδικα.

20 437 [ὀξὺ πάροιθεν] ὀξὺ κατὰ τὸ ἔμπροσθεν μέρος, κατὰ τὴν ἀκμήν. [πάλιν] ἐπὶ τὸ ἕτερον—ἐναντίον.

20 440 * [ἦκα μάλα ψύξασα] πάνυ ἠρέμα καὶ πρᾴως καταπνεύσασα καὶ ὑπεκλύσασα—ποιήσασα. [δεινὰ δὲ] 〈τό «δέ»〉 περισσόν.

20 451 [ἐς δοῦπον ἀκόντων] ἐπὶ τὴν ἄφεσιν τῶν δοράτων, ἐπὶ τὴν μάχην. [εἴ πως εὖ πεφίδοιτο] ὅπως αὑτοῦ φείσαιτο.

20 467 [γλυκύθυμος] ἀνειμένος καὶ προσηνὴς τῇ ψυχῇ. [πρόσθ’ ὁρόων θάνατον] ἔχων πρὸ ὀφθαλμῶν τὸν θάνατον.

20 483 [σφονδυλίων] οἵ εἰσι κδ′ ἐν τῇ ῥάχει. [ἀναμαιμάει] ἀναφέρεται ἢ ἐνθουσιᾷ.

20 490 [θεσπιδαὲς] ὑπὸ θεῶν ἀναπτόμενον, θεῖον. [κτεινομένους ἐφέπων] ἔδει εἰπεῖν· ἔφεπε κτείνων.

20 499 [στεῖβον .... νέκυας] ἐπάτουν τοὺς νεκρούς. πόρον] ἤτοι τὸν ποταμὸν—ξανθὰς κόμας ἔσχον.

21 1 [ἐΰρρεῖος ποταμοῖο] τοῦ καλὰ ῥεύματα ἔχοντος ποταμοῦ. [ὃν ἀθάνατος τέκετο Ζεύς] τὸν σωματοειδῆ θεὸν, ὃς τοῦ ῥείθρου προέστηκεν· τὸ γὰρ ποτάμιον ὕδωρ ἐξ Ὠκεανοῦ φασιν εἶναι «ἐξ οὗπερ πάντες ποταμοί».

21 2 (XXI 196). [ἀργυροδίνην] λαμπρὰς δίνας ἔχοντα, ὅ ἐστι συστροφάς.

21 9 [αἰπὰ] νῦν βαθέα. [ἠερέθονται] ἤτοι ἐρεθίζονται, ἢ εἰς ἀέρα αἴρονται καὶ ἀποκρύπτονται.

21 18 [κεκλιμένον μυρίκῃσιν] ὑπὸ μυρικῶν περιεχόμενον, κεκαλυμμένον. μυχοὺς] φωλεούς—ἀποκρύφους.

21 31 [στρεπτοῖσι] ἤτοι εὐκλώστοις. [Ἀρίσβην] πόλις Θρᾴκης ὑφ’ Ἑλλήσποντον.

21 57 [νηλεὲς ἦμαρ] ἀνηλεῆ ἡμέραν. λέγει δὲ τὸν θάνατον. [ἀντί τοί εἰμ’ ἱκέταο] ἀντὶ τοῦ ἱκέτης σού εἰμι.

21 76 [Δημήτερος ἀκτὴν] τὸν ἄρτον περιφραστικῶς. ἑκατόμβοιον] τιμὴν ἑκατὸν βοῶν ἀξίαν.

21 79 οἱ παλαιοὶ— σιωπῆσαι. [Λελέγεσσι] ἀρχαῖον ἔθνος Φρυγῶν.

21 87 [Σατνιόεντα] ποταμὸς Τρωΐας. [δειροτομήσεις] τοὺς τραχήλους κόψεις· δειρὴ γὰρ ὁ τράχηλος.

21 95 [ὁμογάστριος] 〈ὁμογάστριοι〉 οἱ ἐκ τῆς αὐτῆς γαστρὸς ἀδελφοί. [μή μοι ἄποινα πιφαύσκεο] περὶ λύτρων μηδόλως μοι διαλέγου.

21 110 τὸ ἑξῆς· ἀλλὰ καὶ ἐπ’ ἐμοὶ ἐπελεύσεται. [Ἄρη ἐκ θυμὸν ἕληται] σιδήρῳ τὴν ψυχὴν ἀφέληται.

21 126 θρώσκων τις] ἐφαλλόμενος—κίνησις. ἰχθὺς ὅς κε φάγῃσι] οὐ δεῖ—ἐπιπλεῖ.

21 127 [ἀργέτα δημὸν] τὸν λευκὸν ἐπίπλουν, τὸ λίπος. [δαϊ κταμενάων] τῶν ἐν πολέμῳ ἀναιρουμένων.

21 157 [Ἀξίου] Ἄξιος ποταμὸς Παιωνίας. ἡ δὲ Παιωνία τῆς Θρᾴκης. [ἀπειλήσας] νῦν αὐχήσας ἢ ὀργισθείς.

21 162 ὃ δ’ ὁμαρτῆ δούρασιν ἀμφὶς] ὁ δὲ ἀμφότερα τὰ δόρατα ὁμοῦ ἀφῆκεν. [ἀμφιδέξιος] ἀμφοτέραις ταῖς χερσὶ δεξιαῖς χρώμενος.

21 166 [ἐπιγράβδην] ἄχρι τοῦ ἐπιξέσαι μόνον τὸ δέρμα. [μεσσοπαγὲς] μέχρι τοῦ ἡμίσεος καταπεπηγότος τῇ γῇ.

21 172 ἐὰν δὲ «με〈σ〉σοσαὲς», ἐκ μέσου σειόμενον. [Ἀχελώϊος] Ἀχελῷος ποταμὸς μεταξὺ Αἰτωλίας καὶ Ἀκαρνανίας.

21 195 κοινῶς δὲ πᾶν ὕδωρ Ἀχελῷος καλεῖται. δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον] δεῖ συνάπτειν «δημὸν ἐρεπτόμενοι»· ἐπὶ τῶν νεφρῶν γὰρ ἐπίκειται ἡ πιμελή.

21 204 τὸ δὲ «ἐρεπτόμενοι» καὶ «κείροντες» διλογεῖται. [ἐπινεφρίδιον] τὸ περὶ τοὺς νεφροὺς λίπος.

21 232 [δείελος] ἡ ὀψινὴ κατάστασις τοῦ ἡλίου παρὰ Ἀττικοῖς δείλη λεγομένη. θύων] πληθύων, ἐνθουσιωδῶς ὁρμῶν.

21 237 [ἠΰτε ταῦρος] ἐντεῦθεν κινηθέντες—τοὺς ποταμούς. [οὐδὲ πόδεσσιν εἶχε στηρίξασθαι] οὐδὲ ἠδύνατο στῆναι τοῖς πόσιν.

21 249 [ἀκροκελαινιόων] τὸ ἄνω μέρος—ποταμοί. [ὕπαιθα] ἐκ πλαγίου ἢ ἔμπροσθεν.

21 257 [ὀχετηγὸς] ὑδραγωγός, ὁ τὸν τοῦ ὕδατος ὀχετὸν καθαίρων. [μάκελλαν] μακέλλην.

21 259 ἔστι δὲ εἶδος ἐργαλείου. [κελαρύζει] ποιὸν ἦχον ἀποτελεῖ.

21 262 [προαλεῖ] ἄλλως· προαλεῖ ψιλωτέον. παρὰ τὸ ἁλίζεσθαι, τὸ συναθροίζεσθαι, ὥστε σημαίνεσθαι τὸ κατωφερές. [διιπετέος] τοῦ ἐκ τῶν ὄμβρων τοῦ Διὸς γεγονότος.

21 269 [πλάζε] ἀπέκρουσεν, ἐπλάνα ἢ προσέλαβεν. [ὑπέρεπτε] ὄπιθεν ὑπεδύετο, ὑπέσυρεν.

21 274 [ἔπειτα δὲ καί τι πάθοιμι] μετὰ τοῦτο τί πάθω; μετὰ τὸν τοῦ ποταμοῦ κίνδυνον τί ἄλλο δεῖ με παθεῖν; [ἔναυλος] χείμαρρος, ποταμὸς διὰ στενοῦ ῥέων.

21 286 [ἐπιστώσαντο] πίστιν τῆς σωτηρίας ἔδωκαν. [τρέε] φοβοῦ.

21 288 τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ «τάρβει». [ἐπιταρρόθω] ἐπιταρρόθους δυϊκῶς.

21 292

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[λωφήσει] λήξει, παύσεται. μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῶν τὰ φορτικὰ κατατιθεμένων. [Ἕκτορι] ἀντὶ τοῦ Ἕκτορος.

21 303 [πρὸς ῥόον—ἀν' ἰθύν] ἐπ' εὐθείας καὶ κατὰ τὴν ὁρμὴν τοῦ ποταμοῦ. ἄντικρυς τοῦ ῥείθρου. ἐναύλους] τὰς τῶν ποταμῶν διώρυγας ἢ τοὺς διὰ στενοῦ ῥέοντας ποταμούς.

21 318 ὑπ' ἰλύος] ὑπὸ τῆς ἰλύος τοῦ ποταμοῦ, ὅ ἐστι τοῦ πλήθους τοῦ πηλοῦ. [εἰλύσω] ἰλύϊ περιχώσω, καλύψω.

21 319bis χεράδος] τῆς ὑπὸ ποταμῶν ἀθροιζομένης ψάμμου καὶ ξύλων συγκομιδῆς. Ἀρίσταρχος δέ φησι—χεράδος οὖν λιθάδος. [ἄσιν] ἰλύν, ὅ ἐστι γῆν ψαμμώδη, ὅθεν ἀσιογεῖαι αἱ αἱμασιαί.

21 323 τυμβοχοῆς ὅτε] χωστοῦ τάφου. τύμβος γὰρ ὁ τάφος. τὸ πλῆρες τυμβοχοῆσαι· οὕτως Ἀρίσταρχος καὶ Ἀσκαλωνίτης καὶ οἱ πλείους· ἄμεινον γὰρ ἐν τῷ ῥήματι τὸ πρᾶγμα λαμβάνειν ἢ 〈ἐν〉 τῷ ὀνόματι. [κυλλοποδίον] χωλέ.

21 331 λέγει δὲ τὸν Ἥφαιστον. [ἄντα σέθεν—ἠΐσκομεν εἶναι] καὶ σοῦ γὰρ ἄξιον ἀνταγωνιστὴν ἡγούμεθα 〈τὸν Ξάνθον〉.

21 333 [πιφαύσκεο δὲ φλόγα πολλὴν] ἐνδείκνυσο δὲ καὶ διέγειρε πολλὴν φλόγα, ἔμφαινε, γνώριζε τὴν τοῦ πυρὸς δύναμιν. [ἀκάματον] ἀκατάπαυστον—ὕλην.

21 351 θρύον] εἶδος—λεγόμενος θρῦς. τὸ δὲ «κύπειρον» ἔνιοί φασι κήβριον. [κάγκανα] κατάξηρα, παρὰ τὸ κῆαι.

21 366 [οὐδ' ἔθελε] νῦν οὐκ ἠδύνατο. [ἔχραε] ἐπεὶ ἐξ ἀρχῆς ἐπηνέχθη σφοδρός.

21 388 [ἀμφὶ δὲ σάλπιζεν] περιήχησε δὲ ἡ σάλπιγξ. ἐξ οὗ προείρηται ὅτι 〈ἀπὸ〉 τῶν ἰδίων χρόνων ὠνόμακε τὴν σάλπιγγα ὁ ποιητής. [ῥινότορος] ὁ τιτρώσκων—ἀνθρώπων δέρμα [κυνάμυια] ἀναιδὴς ὡς μυῖα· ἐκ δύο ἀναιδῶν τελείων τοῦ τε κυνὸς καὶ τῆς μυίας, διὰ τὸ ὑπερβάλλον τῆς ἀναιδείας.

21 397 [πανόψιον] ἐν τῇ πάντων ὄψει ὁρώμενον, ἢ πάντας ὁρῶν, οἱονεὶ πανόρατον. οὕτως ἂν αἱ τῆς μητρὸς Ἐριννύες μετέλθοιεν.

21 419 φεῦ πάπαι τοῦ αἰγιδούχου Διὸς τέκνον ἀκαταπόνητε. πάλιν δὴ ἡ ἀναιδὴς αὕτη 〈ἄγει〉 τὸν ἀνθρωπόλεθρον Ἄρην.

21 422 ἐκ τοῦ διακοπτικοῦ πολέμου κατὰ τὴν ταραχήν· ἀλλὰ παραγενοῦ τιμωρὸς εἰς αὐτόν. οὕτως εἶπεν, ἡ δὲ Ἀθηνᾶ ἐφώρμησεν, ἔχαιρε 〈δὲ〉 τῇ ψυχῇ.

21 425 ἔτρωσε· ταύτης δὲ αὐτόθι παρελύθησαν τὰ 〈γούνατα〉 καὶ ἡ προσφιλὴς ψυχή. οὗτοι 〈μὲν〉 δὴ ἀμφότεροι ἔκειντο πρὸς τῇ πολλοὺς τρεφούσῃ γῇ.

21 444-445 θητεύσαμεν—ῥητῷ] ἐπὶ ὡμολογημένῳ— πᾶσα δὲ χάρις, κἂν ᾖ τελευταία, δύναται μεῖζον ἔγκλημα λῦσαι. (Thuc. I, 42). σὺ δ' εἰλίποδας—βουκολέεσκες] ἔνεμες, ἔβοσκες.

21 448 «ἕλικας» δὲ τοὺς βοῦς—ἐπικαμπῆ. φασὶ τὸν Ἀπόλλωνα—Ἀπολλόδωρος. [πολυπτύχου] πολλὰς ἐξοχὰς καὶ ἀποκλίσεις ἐχούσης.

21 450 [πολυγηθέες] πολλὴν χαρὰν τοῖς ἀνθρώποις τῇ αὑτῶν ἐπελεύσει ἐμποιοῦσαι. [τοῦ δὴ—χάριν] διὰ οὖν τὰς τοιαύτας αἰτίας τούτοις τοῖς ὄχλοις φέρεις χάριν.

21 464 οἳ φύλλοισιν ἐοικότες] ἀντὶ τοῦ φύλλοις ὅμοιοι, διὰ τὸ καὶ αὐτὰ ἀπορρέοντα ἀφανίζεσθαι. [ζαφλεγέες] μεγάλως ἔνθερμοι, ἐνεργεῖς, δραστήριοι, ἢ λαμπροὶ καὶ αὐξανόμενοι.

21 469 εἰς χεῖρας ἐλθεῖν τοῦ πατρὸς ἀδελφοῦ. [ἀγροτέρη] κυνηγέτις, δραστική.

21 471 λέγει δὲ τὴν Ἄρτεμιν. [ἀμφοτέρας—ἔμαρπτε] ἀμφοτέρας τὰς χεῖρας συνέλαβε τῶν καρπῶν.

21 494 [ἴρηκος] ἱέρακος. προσληπτέον 〈δὲ〉 τὸ διωκομένη. [ἐϋστέφανος] καλὴν στεφάνην ἔχουσα.

21 511

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στεφάνη δὲ εἶδός ἐστι κόσμου γυναικείου. ἔστι δὲ καὶ περικεφάλαιον. * [ἐπὰψ θέμεναι] πάλιν ἐπικλῖναι καὶ ἐπιθεῖναι.

21 541 [καρχαλέοι] ξηροὶ ὑπὸ δίψης. [κεκλιμένος] ἀντὶ τοῦ περιεχόμενος ὑπὸ φηγοῦ καὶ περικεκλιμένος αὐτῇ.

21 556-557 [ὑποκλονέεσθαι—Ἀχιλῆϊ] ὑπὸ Ἀχιλλέως συγχωρήσω ταράττεσθαι. [πεδίον Ἰλήϊον] τόπος ἐν ᾧ ὁ Ἰλίου τάφος.

21 559 [ῥωπήϊα] ἱμαντώδη φυτὰ, ἀφ' οὗ τὰ δένδρα τῆς ὕλης. [εἰ δέ—πόλιος] ἐὰν δὲ αὐτῷ ἔμπροσθε τῆς πόλεως.

22 1 [κατὰ ἄστυ πεφυζότες] κατὰ τὴν πόλιν δεδειλιακότες, ἐκπεπληγμένοι, ἢ μετὰ δέους πεφευγότες [ἱδρῶ ἀπεψύχοντο] πρὸς ἄνεμον ἐξηραίνοντο, ἀνεκτῶντο 〈ἑαυτούς.

22 2 〉 [κεκλιμένοι] προκεκλιμένοι, ὅ ἐστι—προμαχῶνες.

22 4 [ἴσαν—κλίναντες] παρεγένοντο τοὺς ὤμους ταῖς ἀσπίσι καλύψαντες. [πόνος] 〈ὁ〉 ἀγών, τὸ ἔργον.

22 12 οἵτινες εἰς τὴν πόλιν συνεστράφησαν, ἔφυγον· 〈σὺ δὲ〉 ἐνταῦθα ἐχωρίσθης, ὡρμήσας ἢ ἐπλανήθης. [ἦ ς' ἂν τισαίμην] καθὰ 〈ἄν〉 σε ἐτιμωρησάμην.

22 27 εἶσιν] ἀνατέλλει, ἄνεισι, τὴν ἑῴαν ἀνατολὴν δηλονότι. ὅν τε κύν' Ὠρίωνος] τὸν ἀστρῷον—ὀνομασίαν ἔσχεν.

22 29 ἱστορεῖ Ἐρατοσθένης. [πυρετὸν] ἤτοι κυρίως, ὡς ἡμεῖς λέγομεν, 〈ἢ〉 τὴν τοῦ ἀέρος ἔκκαυσιν.

22 40 [Πηλείωνι δαμεὶς] ὑπὸ Ἀχιλλέως ἀναιρεθείς. [ἦ κέ μοι—ἔλθοι] οὕτως ἂν ἀπέλθοι μοι τὰ κακὰ τῶν φρενῶν.

22 47 [ἀλέντων] συστραφέντων, συγκλεισθέντων, φυγόντων. [θάνῃς Ἀχιλῆϊ δαμασθείς] ἀποθάνῃς ὑπὸ Ἀχιλλέως ἀναιρεθείς.

22 59 [ἔτι φρονέοντα] ἔτι σωφρονῶν πρὶν ἐπιστῆναι— κύριος. ἔχει τὰ ὀκτὼ μέρη τοῦ λόγου.

22 60 [ἐπὶ γήραος οὐδῷ] ἐπὶ τῇ τοῦ γήρως ἐξόδῳ [ἑλκηθείσας] ἀντὶ τοῦ αἰχμαλωτισθείσας.

22 66 [πρώτῃσι θύρῃσιν] ταῖς πρώταις θύραις, ταῖς προαυλίοις. [πολιόν] ἤτοι πεπολιωμένον, ἢ ἔντιμον.

22 75 [αἰδῶ] ἢ 〈τὸ〉 αἰδοῦς ἄξιον τοῦ σώματος. [κόλπον ἀνιεμένη] γυμνοῦσα τὸν κόλπον.

22 80 λέγει δὲ τὸ κατὰ τὸ στῆθος μέρος. [λαθικηδέα] τὸν λήθην—πάντων.

22 87 θάλος] βλάστημα, φυτόν, πᾶν τὸ νέον. ἀπὸ τοῦ θάλλειν τῇ αὐξήσει. [πολύδωρος] πολλὰ δωρουμένη ἀγαθὰ ἢ μετὰ πολλῶν δώρων καὶ ἕδνων γεγαμημένη.

22 93 χειῇ] σχισμῇ. λέγει δὲ τῇ τοῦ δράκοντος καταδύσει. [ὀρέστερος] ἐν ὄρει διατρίβων, ὄρειος, ἐξ οὗ ἄγριος. [βεβρωκὼς κακὰ φάρμακα] φαγὼν τὰ κακωτικὰ καὶ ἰοῦ ποιητικὰ φάρμακα.

22 94 λέγει δὲ μύρμηκας καὶ κανθαρίδας. [ἑλκεσιπέπλους] ἐπισυρούσας ἐν τῇ πορείᾳ τοὺς πέπλους, τουτέστι βαθείᾳ ἐσθῆτι χρωμένας.

22 106 [εἴπῃσι .... ἐμεῖο] περὶ ἐμοῦ εἴπῃ. [αὐτῷ] ἢ «αὐτόν».

22 113 [αὐτὸς ἰὼν] μόνος ἀφικόμενος, χωρὶς τῶν ὅπλων. [ἅμα δ' ἀμφὶς] χωρὶς δὲ τούτων.

22 117 ὁ 〈«δέ»〉 πε〈ρισσόσ〉. γερούσιον ὅρκον] τὸν ἐπὶ τῶν—ὀμόσαι.

22 124 [αἰδέσεται] λέγει δὲ δέξεται, προσδέξεται ὡς ἱκέτην· οἱ γὰρ ἱκέται αἰδοῖοι. οὐ μέν πως—πέτρης] οὐκ ἔστι—παρὰ Διδύμῳ.

22 132 κορυθάϊκι] πολεμικῷ, κινοῦντι τὴν περικεφαλαίαν καταπλήξεως ἕνεκα καὶ φόβου τῶν ἐναντίων. ** [Ἕκτορα] ἢ «Ἕκτωρ».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

22 141 [λεληκὼς] κεκραγώς. νῦν δὲ—ἀποτελῶν [ἠνεμόεντα] καταπνεόμενα—κοίλων.

22 147 [κρουνὼ] κυρίως μὲν—πλύνουσιν. [πλυνοὶ] πύελοι, ἐν αἷς πλύνουσιν.

22 160 [ἀρνύσθην] 〈δι〉’ ἀγῶνος ἐσπούδαζον λαβεῖν. [ὄρσας ἐξ εὐνῆς] ἐκ τῆς κοίτης ἐγείρας, ὁρμήσας.

22 191 θάμνοι] οὕτω καλοῦνται οἱ σύμφυτοι καὶ ὑλώδεις τόποι. παρὰ τὸ θαμινόν. ἐπὶ τὰς Δαρδάνου πύλας ὁρμῆσαι.

22 201 ὥς ῥα τὸν—ἀλύξαι] πῶς τάχιστος ὢν— περιθέων. ἀδύνατον, φησὶν, ἐστὶν αὐτῷ διαφυγεῖν ἡμᾶς.

22 221 πρὸ τῶν ποδῶν τοῦ Διὸς κυλινδούμενος, ὅ ἐστιν ἱκετεύων. [τιμήσασθαι] λείπει τὸ σέ 〈ἵν’ ᾖ· νῦν δὲ καὶ μᾶλλόν σε〉 τιμήσω [κερδοσύνῃ] ἐντρεχείᾳ, πονηρίᾳ, ἀπάτῃ.

22 254 [ἐπιδώμεθα] ὀμόσωμεν, ἐπόπτας καὶ μάρτυρας τῶν λεγομένων ποιησώμεθα. [καμμονίην] τὴν ἐκ καταμονῆς νίκην, ὅ ἐστι τὴν ἐκ μονομεροῦς.

22 261 ἄλαστε] ἢ ἀλάθητε, δεινὰ καὶ ἀνεπίληστα εἰργασμένε. ἀρτιεπὴς] ἀπηρτισμένος καὶ ἱκανὸς εἰπεῖν, ἢ ἄρτι ἐσκευασμένος, δεινός.

22 281 [ἐπίκλοπος] παραλογιστικός, ἀπατῶν, διὰ λόγων κλέπτειν τὴν ἀλήθειαν εἰδώς. [οὐδ’ ἄλλ’ ἔχε] ὁ «δέ» ἀντὶ τοῦ γάρ· οὐ γὰρ εἶχεν ἄλλο.

22 310 [πτῶκα] παρὰ τὸ πτήσσειν—ζῷον. τοῦ δὲ Ἕκτορος, φησὶν, τὸ μὲν λοιπὸν σῶμα ὑπὸ τῶν ὅπλων κατεκεκάλυπτο.

22 323 [Πατρόκλοιο βίην] περιφραστικῶς τὸν Πάτροκλον. [ᾗ κληῖδες—ἔχουσι] καθ’ ὃ μέρος αἱ κατακλεῖς συνάπτουσιν διείργουσαι τὸν αὐχένα ἀπὸ τῶν ὤμων.

22 325 ὅπου τρώσεως γενομένης ταχεῖα γίνεται τῆς ψυχῆς ἀπώλεια. [ψυχῆς ὄλεθρος] καίτοι ἀθάνατον—τὸν βρόγχον. μή με πρὸς τῶν γονάτων καὶ γονέων λιτάνευε.

22 349 εἰκοσινήριτα] εἰκοσαπλασίονα, εἰκοσάκις ἐξισοῦσθαι .... τῆς τοῦ σώματος σωτηρίας· τὸ γὰρ ἐρίζειν ἐξισοῦσθαί ἐστιν. οὐδ’ εἴ κεν—ἀνώγοι] οὐδ’ εἰ χρυσῷ σταθμήσασθαι θελήσει τὸ σῶμα ὁ Πρίαμος· ἐρύσασθαι γὰρ νῦν τὸ ζυγοστατῆσαι.

22 356 προτιόσσομαι] καλῶς γινώσκων καὶ προορῶν ταῦτά σοι λέγω, μάτην δέ· οὐ γάρ σε πείθω. [μή τοί τι—γένωμαι] μήπως τῆς ἐκ θεῶν βλάβης αἴτιός σοι καταστῶ.

22 371 οὐδαμῶς γάρ τις χωρὶς τοῦ ἐπιτιτρώσκειν τὸν Ἕκτορα παρέστη. ἐπειδὴ τόνδ’ ἄνδρα] σημειωτέον ὅτι καὶ—κασίγνητε».

22 379 [δαμάσασθαι ἔδωκαν] δαμασθῆναι ἢ ἀναιρεθῆναι παρέσχον. [πεσόντος] νῦν ἀποθανόντος.

22 395 [Ἕκτορα δῖον] ἀντὶ τοῦ κατὰ τοῦ Ἕκτορος τοῦ δίου καὶ ἐνδόξου. ἐς σφυρὸν ἐκ πτέρνης] τὰ ἀπὸ σφυροῦ ἕως πτερνῶν.

22 411 ὀφρυόεσσα] εἰς ὕψος—τρόπος. σμύχοιτο] καταφλέγοιτο. ὁ δὲ λόγος· τοιοῦτος, φησὶ, θρῆνος, διεγήγερτο ὡς τῆς Ἰλίου πάσης ὑπὸ πυρὸς καταφλεγομένης. οὗ με λύπη κατάξει εἰς [Ἅιδου.

22 441 [ἔπασσε] ἐποίκιλλε. ἐξ οὗ καὶ παστός. κωκυτοῦ δ’ ἤκουσεν] ἀντὶ τοῦ—αὐτὴν ἠνάγκαζεν.

22 448 [ἐλελίχθη] κλονοειδῶς ἐσείσθη ὑπὸ τρόμου. [αἲ γὰρ—ἔπος] εἴθε γὰρ μὴ ἤκουσά ποτε τοῦ λόγου τούτου.

22 457 [ἀγηνορίης] νῦν ἀνδρείας. ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν] ἀνέπνευσε δὲ τὴν ψυχήν· κάπος γὰρ καλεῖται τὸ πνεῦμα κατὰ διάλεκτον, ἐξ οὗ καὶ κῆπος.

22 469 ἄμπυκα] κόσμον τινὰ περὶ τὴν κεφαλὴν, ἀνέχοντα τὰς τρίχας τῆς κεφαλῆς. [κεκρύφαλον] τὸν πρὸς ἡμῶν λεγόμενον κροκύφα〈ν〉τον, [ἕδνα] τὰ ὑπὸ τῶν νυμφίων διδόμενα δῶρα ταῖς γαμουμέναις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

22 476 [ἀμβλήδην γοόωσα] ἀναφέρουσα ἀθρόως τὸ πνεῦμα. [παναφήλικα] πάντων 〈τῶν〉 ἡλικιωτῶν ἐστερημένον, τουτέστιν ἐλαυνόμενον τῆς ἀπ’ αὐτῶν διατριβῆς.

22 494 [ἐπέσχε] τῷ στόματι προσήνεγκεν. [ὑπερῴην] τὸν λεγόμενον οὐρανίσκον.

22 496 ἀμφιθαλὴς] κατὰ ἀμφοτέρους τοὺς γονεῖς θάλλων, ὅ ἐστιν ἔχων τοὺς γονεῖς ἀμφοτέρους. [μυελὸν .

22 501 … ἔδεσκε] τὸ νοστιμώτατον τῆς τροφῆς ἤσθιεν. [θαλέων ἐμπλησάμενος κῆρ] πάντων τῶν πρὸς τὸ θάλλειν ἐμπλησθείς.

22 505 [ἁμαρτών] χωρισθεὶς, ὅ ἐστι τοῦ πατρὸς ἀστοχήσας. εὐλαὶ] σκώληκες—εὐναί.

22 514 [πρὸς Τρώων καὶ Τρωϊάδων] ὁμοίως—δόξαν. ἐπειδὴ νῆάς τε] ἀκέφαλον—ὁ στίχος.

23 2 Ἑλλήσποντον καλεῖ τὴν πέριξ Ἰλίου θάλασσαν. [αὐτοῖς ἵπποισι] κατὰ Ἀττικὸν ἔθος πέφρακε χωρὶς τοῦ σύν.

23 25 [πὰρ λεχέεσσι] παρὰ τῷ φέρτρῳ ἤγουν τῇ κλίνῃ. [τάφον—δαίνυ] τὸ περίδειπνον, τὸ ἐπὶ—παρασκευαζόμενον.

23 30 [ἀργοὶ] λευκοί· οὐδὲν γὰρ διέφερε τοῖς παλαιοῖς· ἢ ἀτελεῖς, ἢ ἄζυγοι, ἢ λιπαροί. ὀρέχθεον] ἀπετείνοντο ἀναιρούμενοι, ἢ ἐφθέγγοντο καὶ ὥσπερ ἐπέστενον· μεμίμηται γὰρ τὸ ἰδίωμα τῆς φωνῆς ὃ προίενται οἱ βόες. οἱ δὲ διεκόπτοντο—κυάμους. [μηκάδες] μηκητικαί—φωνῆς. [5]

23 32 [θαλέθοντες] θάλλοντες, λιπαροί. ἐξετείνοντο φλογιζόμενοι τῷ πυρί.

23 34 κοτυλήρρυτον] τοσοῦτον—λέγεσθαι. [σπουδῇ παρπεπιθόντες] μόλις καὶ μετὰ πολλῆς κακοπαθείας πείσαντες.

23 40 [τρίποδα] 〈λέβητα〉 βάσιν ἔχοντα τριῶν ποδῶν. [ὕπατος] ἤτοι ὁ μέγιστος, ὁ ὑπέρτατος.

23 46-47 [οὔ μ’ ἔτι—ἄχος] οὐκ ἄν μοι ἄλλο τοιοῦτον συμβήσεται κακόν. [στυγερῇ] μισητῇ, ὁτὲ δὲ ἐπιφόβῳ.

23 51 [ζόφον] σκότον, ὃν—λέγομεν ἠερόεντα] ἀερώδη, σκοτεινόν, ἢ πλατύν. [ἀπ’ ὀφθαλμῶν] ἄποθεν τῶν ἡμετέρων· τοῦτο γὰρ προσυπακουστέον.

23 61 [ὅθι—κλύζεσκον] ὅπου ἐπικλύζουσα ἡ θάλασσα κακὸν ἐποίει τὸν αἰγιαλόν. [Ἕκτορ’ ἐπαΐσσων] ἐπὶ Ἕκτορι.

23 75 [ὀλοφύρομαι] οἰκτίζομαι, θρηνῶ. ἐλλείπει δὲ τὸ ἵνα. [λελάχητε] λαχεῖν ἢ τυχεῖν ποιῆτε.

23 85 [Ὀπόεντος] Ὀποῦντος. ἡ δὲ Ὀποῦς πόλις τῆς Λοκρίδος. [ὑμέτερον δὲ] προσληπτέον οἶκον.

23 86 [ἀνδροκτασίης ἀλεγεινῆς] διὰ τὴν χαλεπὴν ἀνδροφονίαν. Κλεισώνυμος ὁ ὑπὸ Πατρόκλου ἀναιρεθείς.

23 87 ἡ δὲ ἱστορία εἴρηται ἐν τῇ [ἀμφιφορεύς] νῦν σορός.

23 92 λέγεται δὲ οὕτω καὶ τὸ μέγα κεράμιον. [τεταρπώμεσθα γόοιο] οὐδὲ γὰρ ὁ θρῆνος ἀτερπής ἐστι, παραμυθεῖται δὲ τοὺς ἀνθρωπιμαίους.

23 101 τετριγυῖα] τρίζουσα, ποιὸν ἦχον ἀποτελοῦσα. [θέσκελον] ἀντὶ τοῦ θεσκέλως, ὅ ἐστι θείως καὶ θαυμαστῶς.

23 116 [ἄναντα] προσάντη, ἀνωφερῆ. [κάταντα] κατωφερῆ. [πάραντα] τὰ κρημνώδη γήλοφα. [δόχμια] πλάγια. [κνημοὺς] ἢ «κρημνούς».

23 117 νῦν τὰς προβάσεις τῶν ὀρῶν. [διὰ ῥωπήϊα] διὰ τῶν δασέων καὶ θαμνωδῶν τόπων.

23 127 [παρακάμβαλον] ἢ «παρακάββαλον», ἤτοι παρέδραμον [νέφος] νῦν τὸ πλῆθος.

23 135 [καταείνυον] ἄλλως· κατεκάλυπτον, ἐσκέπαζον—παρειῶν. [οἴνοπα] νῦν βαθύν.

23 144

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλως· σοί γε—Πηλεύς] ἔθος ἦν—Θετταλίας. ἔνορχα] ὄρχεις ἔχοντα· τοιαῦτα γὰρ ἔθυον τοῖς ποταμοῖς.

23 160 [κήδεος] φροντίδος ἄξιος, κηδεύσιμος· κηδεμόνες γὰρ οἷς μάλιστα προσήκει τὸ φροντίζειν. [παρὰ δ’—μενόντων] παραμενέτωσαν δὲ ἡμῖν οἱ ἡγεμόνες. [ἑκατόμπεδον] τετράγωνον, ὥστε ἑκάστην πλευρὰν ἑκατὸν ποδῶν μέτρον ἔχειν.

23 164 [ἔνθα καὶ ἔνθα] τῇ δὲ—καὶ πλάτος. [ἐν δὲ πυρῇ ὑπάτῃ] νῦν ἐν μέσῳ καὶ ἐξέχοντι μέρει τῆς πυρᾶς.

23 169 [περὶ δὲ—νήει] ἐσώρευε δὲ τὰ σώματα τῶν ἀνῃρημένων ἀνδρῶν. [ἐριαύχενας] μακροτραχήλους, μεγάλους ἀπὸ μέρους.

23 177 [πυρὸς μένος] περιφραστικῶς τὸ πῦρ. [νέμοιτο] ὅπως ἐσθίοι, τουτέστι κατα〈καίοι〉 πά〈ντασ〉. [χαῖρε] τέρπου, ὅ ἐστιν ἥδου.

23 190 [μένος ἠελίοιο] περιφραστικῶς ὁ ἥλιος. σκήλῃ] σκηλώσῃ, ξηράνῃ.

23 191 ὅθεν καὶ σκελετός, ὁ ξηρός. [χρόα] τὸν περὶ νεύροις χρῶτα. [βηλῷ] τῇ φλοιᾷ, ἀπὸ τοῦ βαίνεσθαι.

23 207 [μεταδαίσομαι ἱρῶν] μεταλαβῶ, εὐωχηθῶ, θυσιῶν, ἱερῶν. [ἑρπύζων] κεκυφὼς καὶ ἠρέμα παραγενόμενος.

23 226 [ἑωσφόρος] ὁ κατὰ τὴν ἡμέραν—Ἀφροδίτης. [κλεύθωμαι] εἰς Ἅιδου τὴν κέλευθον, ὅ ἐστι τὴν ὁδὸν, ποιήσωμαι.

23 244 συγκέκοπται δὲ ἐκ τοῦ κελεύθομαι, καὶ σημαίνει τὸ πορεύομαι. [πονέεσθαι] ἐνεργεῖν, πονεῖν.

23 246 [ἐπιεικέα] ἐπιεικῆ ἐπιμελῆ ἢ μέτριον. [χυτὴν] χωστήν.

23 257 οὐ πᾶσα δὲ, ἀλλὰ τὴν ἰδίως τοῖς νεκροῖς ἐπιχεομένην. [ἵζανεν εὐρὺν ἀγῶνα] μέγιστον προετίθει ἀγῶνα.

23 260 [βοῶν τ’ ἴφθιμα κάρηνα] περιφραστικῶς βοῦς. [ἐϋζώνους] καλὰς ἀπὸ μέρους.

23 264 [δυωκαιεικοσίμετρον] δύο καὶ εἴκοσι μέτρα χωροῦντα. βρέφος] ὃ ἡμεῖς ἔμβρυον λέγομεν, τὸ ἐν τῇ γαστρὶ ὄν.

23 266 [κυέουσαν] ἔγκυον καὶ κατὰ γαστρὸς ἔχουσαν. ἄπυρον] κενὸν, οὐκ εἰς πῦρ χρήσιμον, ἀλλ’ ἀναθεματικόν.

23 270 [ἀμφίθετον φιάλην] διπλῆν ἔχουσαν—θέσιν. τάδ’ ἄεθλα δεδεγμένα] ἀντὶ τοῦ περιμένοντα τοὺς ἄλλους ἱππεῖς.

23 273 [ἀγῶνι] νῦν τόπῳ. [ἀρετῇ] ἀρετὴ, ἡ ἐν παντὶ πράγματι ὑπεροχή.

23 284 [ἐρηρέδαται] ἐρηρεισμέναι εἰσι, τῇ γῇ προσπελάζονται. [ταχέες] ἀντὶ τοῦ ταχέως.

23 295 Αἴθην] ὄνομα ἵππου πεποιημένον—τρέχειν. ἰσχανόωσαν] ἐξεχομένην, ἐκτεινομένην ἢ ἐπιθυμοῦσαν.

23 300 ἢ ἄνευ τοῦ ς. [ἐλαύνων] λείπει τὸ συνετῶς ἢ πανούργως.

23 325 [προὔχοντα] προέχοντα, προάγοντα, ὑψηλόν. ὄργυια] ἡ τῶν δύο χειρῶν σταυροειδῶς εἰς πλάτος ἔκτασις.

23 330 [ἐν ξυνοχῇσιν ὁδοῦ] ἐν ταῖς ξυμβολαῖς, καθ’ ὃ μάλιστα ἐστένωται ἡ ὁδός. [ξυνοχῇσιν] ἢ «ξυλοχῇσιν.» [κένσαι ὁμοκλήσας] τῷ κέντρῳ καὶ τῇ φωνῇ ἐπίπληξον.

23 337 [εἶξαι] ἀντὶ τοῦ ἐπιδοῦναι, χαλάσαι. [κύκλου ποιητοῖο] τροχοῦ.

23 340 διὰ τοῦτο καὶ «ποιητοῖο». [ἐπαυρεῖν] νῦν ψαῦσαι. [κατά .

23 341 ... ἄξῃς] κατάξῃς, κλάσῃς. [πεφυλαγμένος εἶναι] ἀντὶ τοῦ πεφύλαξο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

23 346 οὐδ’ εἴ κεν—πῶλον ἐλαύνοι] Ποσειδῶν— κυκλικοῖς. [μετὰ πνοίῃς ἀνέμοιο] ἀντὶ τοῦ ἀνέμων δίκην.

23 374 [ἀρετή] ἡ ἐνὶ παντὶ πράγματι ὑπεροχή. τάθη δρόμος] σύντονος—ἵπποι.

23 382 [ἀμφήριστον] τὸ ἀμφοτέρωθεν ἐξισούμενον, ἢ ἀμφισβητήσιμον. Φοῖβος Ἀπόλλων] δεόντως—Εὐμήλου πατρί.

23 393 [ἀμφὶς ὁδοῦ] χωρὶς καὶ ἔξωθεν τῆς ὁδοῦ. [ῥυμὸς] τὸ διῆκον ἀπὸ τοῦ ἅρματος ἕως τοῦ ζυγοῦ ξύλον. ἐλύσθη] συνετρίβη ἢ ἐξετάθη, οἱ δὲ παρεκυλίσθη, συνανεστράφη.

23 411 οὐκέτι ὑμῶν οὕτως ἐπιμελήσεται ὁ Νέστωρ. [ἁλὲν] συνεστράφη, ὅ ἐστι συνεχύθη.

23 422 [ἁματροχιὰς] τὰς τῶν τροχῶν συγκρούσεις, τὰς ἀπὸ τῶν ἄλλων ἁρμάτων. [δίσκου οὖρα] δίσκου ὁρμή, ὅ ἐστιν ἄφεσις.

23 432 [ἥβης] νῦν ἀκμῆς. [συγκύρσειαν] ἀντὶ τοῦ συγκρούσειαν, ὅμοιον δὲ αὐτῷ καὶ τοῖς συντυχοῦσιν.

23 454 [φοῖνιξ] φοινικὸς τὸ χρῶμα, ὅ ἐστι πυρρὸς. [περὶ τέρμα βαλούσας] περιελθούσας τὸν καμπτῆρα [ἑλίξας] συστρ〈έψασ〉 περὶ τὴν κ〈αμπὴν〉 τοὺς ἵππους.

23 485 [τρίποδος περιδώμεθον] περὶ τρίποδος συνθήκας ποιησώμεθα. [ἵστορα] ἐπιστήμονα καὶ μάρτυρα τῆς συνθήκης.

23 487 [ἀπὸ τίνων] ἢ «ἀποτίνων», ἀπολύων. [οὐδέ τι πολλὴ—κονίῃ] οὐδὲ βαθεῖα ἐγένετο ἡ τῶν τροχῶν ἐγχάραξις ἐπὶ τῆς γῆς.

23 508 [λόφων] νῦν αὐχένα, τράχηλον. [μάτησεν] ἀργὸς καὶ ἄπρακτος ἔμεινεν.

23 517 [τροχοῦ] νῦν τοῦ ἁρματίου. [προτέρω] ἐξωτέρω, ἐμπροτέρω.

23 526 ἔστι δὲ νῦν ἐπίρρημα χρόνου δηλωτικόν. [ἀμφιδεδίνηται] περικέχυται κύκλῳ ὁ κασσίτερος.

23 567–568 [ἐν δ’ ἄρα κῆρυξ—ἔθηκε] παρὰ τοῖς ἀρχαίοις οἱ δημηγοροῦντες σκῆπτρα ἐκράτουν. [ἐς μέσον—δικάσατε] οἱονεὶ—ἴσως δικάσατε.

23 574 [μηδ’ ἐπ’ ἀρωγῇ] μηδὲ ἑτέρῳ ἡμῶν βοηθῆτε. [ἰθεῖα γὰρ ἔσται] ἀντὶ τοῦ ὀρθῶς δικασθήσεται.

23 584 [γαιήοχον] 〈γαιήοχοσ〉 ὁ τοῖς ὀχήμασι—ὁ θεός. [μεῖζον ἀπαιτήσειας] ἐκ περισσοῦ αἰτήσειας.

23 595 [ἐκ θυμοῦ πεσέειν] ἀποπεσεῖν τῆς ψυχῆς, ὅ ἐστι μισηθῆναι. [φρίσσουσιν] πεπύκνωνται διανεστηκότες 〈ἐν〉 ταῖς χώραις οἱ στάχυες.

23 603 [ἀεσίφρων] κοῦφος ταῖς φρεσίν, ἄνους, οὐ κεχαλασμένος τὸν λογισμόν, παράφρων. [οὐδέ τ’ ἀκοντιστὺν ἐσδύσεαι] οὐδὲ εἰς ἀκοντίου ἀγῶνα κατελεύσῃ.

23 639 [πλήθει πρόσθε βαλόντες] ἤτοι τῶν χειρῶν—ἱστοροῦνται. πλήθει πρόσθε βαλόντες] ἀντὶ τοῦ τῷ πλήθει τῶν θεατῶν συνεργησάντων νικήσαντες. [ἀγασσάμενοι περὶ νίκης] φθονήσαντές μου τῇ νίκῃ.

23 640 [παρ’ αὐτόφι λείπετ’ ἄεθλα] παρ’ αὐτοῖς τοῖς ἵπποις κεῖται τὰ ἆθλα. [τιμῆς] τῆς συνηθείας νῦν.

23 652 [αἶνον] τὸν δι’ ἐπαίνου λόγον. [καμμονίην] τὴν ἐκ καταμονῆς νίκην.

23 674 [κηδεμόνες] οἱ προσήκοντες κατὰ τὸ γένος. ζῶμα δέ οἱ] νῦν περίζωμα.

23 683 πρῶτον ἔθος ἦν τοῖς παλαιοῖς —γυμνοὺς τρέχειν. χρόμαδος] ποιὸν ἦχος τοῦ χρωτὸς τῶν σιαγόνων.

23 692 [φρικὸς] φρίξ ἡ ἐπιπόλαιος τοῦ κύματος κίνησις, ἡ λεπτοκυμία. [φυκιόεντι] φυκία ἔχοντι—καλουμένη.

23 698 [ἀλλοφρονέοντα] οὐκ ἐν αὑτῷ ὄντα, ἀλλ’ ἐξιστάμενον τῇ διανοίᾳ. ἐξιστάμενον τῶν φρενῶν μεθ’ ἑαυτῶν ἐκάθισαν φέροντες.

23 703

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[δυωδεκάβοιον] δώδεκα βοῶν ἄξιον, τεσσαράβοιον δὲ δ’ βοῶν. [ἀμείβοντες] δοκοὶ μεγάλαι—καλοῦνται.

23 742 [κάλλει] ἢ κάλλει, ἤτοι τῇ τέχνῃ. [Σιδόνες .

23 743-744 … Φοίνικες] Σιδὼν γὰρ πόλις Φοινίκης. [ἠεροειδέα πόντον] μέγαν, ἢ ἀναπεπτάμενον, ἐν ᾧ ἀὴρ μόνος ὁρᾶται.

23 745 [Θόαντι] τῷ βασιλεῖ τῆς Λήμνου. [λοισθήϊα] τὰ τῷ ἐσχάτῳ διδόμενα, ἥττονα [μεταστοιχί] ἐπὶ στοῖχον, ἐπὶ τάξιν.

23 758 [τοῖσι—δρόμος] μετὰ προθυμίας ἦν αὐτοῖς ὁ δρόμος. κανὼν] ὁ κάλαμος—ἱστουργικός.

23 775 [ἐριμύκων] μυκηθμὸς γὰρ ἡ τῶν βοῶν φωνή. οὕτω λέγουσιν—ὥρας καὶ παρ’ ἡλικίαν γεγηρακότας.

23 795 [αἶνος] νῦν λόγος. [ὀρεξάμενος χρόα] ἐφαψάμενος τοῦ χρωτός.

23 806 ἐνδίνων] τῶν—αὐτὰ 〈τῷ〉 θώρακι καὶ τοῖς λοιποῖς ὅπλοις. οἱ δὲ ἀποδιδόντες ἐντέρων—μονομαχοῦσιν. αἰὲν—φαεινοῦ] ἱστόρηται—τῇ λεοντῇ.

23 826 [σόλον] τί διαφέρει σόλος καὶ δίσκος; ὅτι ὁ μὲν σόλος στρογγύλος καὶ σφαιροειδής ἐστιν, ὁ δὲ δίσκος πλατύς ἐστι καὶ κοιλότερος. αὐτοχόωνον] ἐκ χεομένης—τερπνήν. [πίονες] νῦν εὐδαίμονες.

23 834 [χρεώμενος] χρώμενος ἢ χρῄζων. [καλαύροπα] τὴν βουκολικὴν—ἔχον, ὅ ἐστι βάρος.

23 846 [διὰ βοῦς] διὰ ἀγελαίων βοῶν. ἰόεντα] ἤτοι τὸν ἰὸν γεννῶντα ἢ μέλανα· ἄμεινον τὸν πρὸς ἰῶν κατασκευὴν ἐπιτήδειον, ὅ ἐστι βελῶν.

23 851 πελέκεας] ἀξίνας διστόμους—ὁ στειλειός. [πάντας ἀειράμενος πελέκεας] τοὺς ὅλους πελέκεας ἐπάρας.

23 857 μηρίνθοιο τύχῃ] καὶ μὴν—μενούσης. ἐξείρυσε χειρὸς] δηλονότι τοῦ Ἰδομενέως· τῷ γὰρ αὐτῷ τόξῳ ἐχρῶντο.

23 879 [σὺν δὲ πτερὰ πυκνὰ λίασθεν] συνεκρότησε δὲ τὰ πτερά. ἀνθεμόεντα] ἤτοι οὐκ εἰς πῦρ χρήσιμον, ἀλλ’ ἀναθεματικὸν ἢ ἀνθεμώδη.

23 891 [ἥμασιν] ἀκοντίοις. ἀπὸ τοῦ ἱέναι. ἔπλευ] ἐγένου. ἀγών] νῦν τὸ ἀθρόισμα τῶν θεατῶν.

24 2-3 [δόρποιο μέδοντο ὕπνου τε] ἐπεμελοῦντο τροφῆς καὶ ὕπνου. ἀλύων] καταστένων, ἀλώμενος καὶ λύσιν μὴ εὑρίσκων τῶν κακῶν.

24 24 ἐΰσκοπον] τὸν τὰ πάντα σκοπούμενον καὶ εὑρίσκων. κλέψαι—Ἀργεϊφόντην] Ζεὺς ἐρασθεὶς—Ἐρατοσθένει. [νείκεσσε] νῦν ἔκρινεν.

24 30 [μαχλοσύνην] τὴν πρὸς συνουσίαν κατωφέρειαν. [ὀλέσσαι] ἀντὶ τοῦ ὀλωλέναι, ἀόριστος ἀντὶ παρακειμένου.

24 54 [κωφὴν—ἀεικίζει] ἀντὶ τοῦ ἀναίσθητον ὑβρίζει. [ἐπεὶ—δώρων] ἐπεὶ οὐχ ἁμαρτάνων ἐγιγνώσκετο παρὰ τοῖς θεοῖς.

24 75 [πυκινὸν ἔπος] ὅτι συμφέρει αὐτῷ, ἵνα μὴ κλαίῃ. [Σάμου] νῆσος Θρᾴκης ἐφ’ Ἑλλησπόντῳ, [λιάζετο] ἢ «λάζετο».

24 96 ἀντὶ τοῦ διΐστατο. ἰήνῃ] διαχέει, ὅ ἐστι χαρῆναι ποιήσει τοῦ Ἀχιλλέως τὴν ψυχὴν εὐφροσύνῃ.

24 124 καὶ ἐντύνοντο τράπεζαν] παρεσκευάζοντο, εὐτρέπιζον. ἄριστον δὲ λέγει νῦν τὸ πρωϊνὸν, ὃ ἡμεῖς λέγομεν τὸ ἀκράτισμα, ὥσπερ αὖ πάλιν τὸ παρ’ ἡμῖν ἄριστον ὁ ποιητής φησι δεῖπνον, μεθ’ ὃ δεῖ πονεῖν, τὸ δὲ δεῖπνον δόρπον. λάσιος] δασύς, τετριχωμένος.

24 125 σημαίνει δὲ καὶ τὸ συνετὸς. [νεκροῖο] ὑπὲρ νεκροῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

24 139 τῇ δ’ εἴη· ὃς ἄποινα] παρεστώς ἐστιν ἐνθάδε· ἡκέτω ὁ κομίζων τὰ λύτρα. ἐν νηῶν ἀγύρει] ὅμοιον τῷ νεῶν ἐν ἀγῶνι, ὅ ἐστιν ἀθροίσματι.

24 157 ἄσκοπος] ἄστοχος τῇ γνώμῃ καὶ ἀπρόοπτος τοῦ μέλλοντος, ἐξ οὗ ἀνόητος. [πεφιδήσεται] φείσεται.

24 158 ἔστι δὲ μετ’ ὀλίγον μέλλων. [ἐντυπὰς ἐν χλαίνῃ] οὕτω—φαίνεσθαι.

24 164 [κόπρος] κοινῶς μὲν τὰ κόπρια, νῦν δὲ ἡ κόνις. [νυοὶ] αἱ τῶν υἱῶν γυναῖκες, αἱ νύμφαι.

24 185 [ἐρύξει] ἐφέξει, λύσει. [ἡμιονείην] πρὸς ἡμιόνων ζεῦξιν ἐπιτηδείαν.

24 190 πείρινθα] τὸ ἐπικείμενον τῇ ἁμάξῃ πλινθίον, ἐφ’ οὗ φέρουσι —καλοῦσιν. [κέδρινον, ὑψόροφον] ἐκ κεδρίνων ξύλων ἔχοντα τὴν ὀροφὴν ὑψηλήν.

24 192bis γλήνεα πολλὰ κεχάνδει] πολλῆς θεᾶς ἄξια, κόσμια, ἢ χρήματα κατὰ Ἠλείους. οἱ δὲ ἀξιοθέατα. γλήνη δὲ παρὰ τὸ γλαμυρὸν— ὅθεν. «Ἀρχέδημος ὁ γλήμων» (Aristoph. Gren. 588.) —ἐν τυφλῶν πόλει—κυρίως τὰ κοροκόσμια λέγουσιν. [σιδήρειον .

24 205 .... ἦτορ] ἰσχυρὰ ψυχὴ, ἐξ οὗ ἀπηνὴς καὶ σκληρά. ὠμηστής] ὠμὸς τὸν τρόπον οἷα τὰ ὠμοφάγα θηρία.

24 213 ἄντιτα] ἀ〈ντι〉 τιμώρητα, ἐν μέρει τινὶ τιμωρίαν λαμβάνοντα. θυοσκόοι] οἱ τὰς θυσίας ἐπιτελοῦντες καὶ δι’ αὐτῶν μαντευόμενοι ἢ οἱ λιβανομάντεις.

24 227 γόου ἐξ ἔρον εἵην] κλαίων κορεσθείην, ἢ τὴν ἐπιθυμίαν πληρώσαιμι. [ἐξεσίην] κατὰ δημοσίαν ἔξοδον, πρεσβείαν.

24 241 ἢ ὄνεσθε] ἢ ἐφήδεσθέ μοι καὶ ἐπὶ ταῖς συμφοραῖς εὐφραίνεσθε, ἀπὸ τοῦ ὄνασθαι, ἢ ἐκφαυλίζεσθε καὶ μικρὸν ἡγεῖσθε. ἄλλως· ὄνασθε] ὄνησίν τινα καὶ ὠφέλειαν ἔχετε. [Πολίτην] νῦν ὄνομα κύριον.

24 251 Δηΐφοβον] Ἀλεξάνδρου—Λυκόφρονι. [ἱππιοχάρμην] ἤτοι ἀφ’ ἵππων μαχόμενον, ἢ ἵπποις χαίροντα.

24 269 οἰήκεσσι] τοῖς κρίκοις δι’ ὧν διείρονται αἱ ἡνίαι. [ὀμφαλόεν] νῦν κεκοσμημένον.

24 270 ζυγόδεσμον] ἵμαντα ᾧ προσδεῖται ὁ ζυγὸς τῷ ῥυμῷ. ἕστορι βάλλον] τῷ ἐνιεμένῳ πασσάλῳ κατὰ τοῦ ῥυμοῦ τοῦ ζυγοῦ· τινὲς δὲ γράφουσιν «ἕκτορι».

24 273 [ἐπ’ ὀμφαλὸν] ἐπὶ τὸ μέσον τοῦ ζυγοῦ. [γλωχῖνα] τὴν γωνίαν.

24 274 λέγει δὲ τὸ τέλος τοῦ ἵμαντος. τοὺς ὑποζυγίους καὶ μὴ ψιλῶς νωτοφόρους—φησίν.

24 278 [Μυσοὶ] ἔθνος βάρβαρον. [ὕπαγον ζυγὸν] ὑπὸ τὸν ζυγὸν ἦγον [ἀγχίμολον] νῦν μετ’ ὀλίγον, πλησίον.

24 293 [καὶ εὗ κράτος ἐστὶ μέγιστον] ὅστις ἰσχυρότατός ἐστι τῶν λοιπῶν ὀρνίθων. [ἑὸν] ἀγαθὸν ἢ ἴδιον.

24 304 χέρνιβον] νῦν ἀγγεῖον, τὸ ὑποδεχόμενον τὸ ταῖς χερσὶν ἐπιβαλλόμενον ὕδωρ, ὃ καὶ λέβητά φησιν. [πρόχοον] τὸν παρ’ ἡμῖν καλούμενον ξέστην. λείπει τὸ δῶμα.

24 318 [ἐϋ κληῖσι] εὖ ταῖς κλεισὶν ἡρμοσμένος, ἀσφαλής. δύναται καὶ ὑφ’ ἓν, ἵν’ ᾖ εὔκλεις. αἰσυμνητῆρι] βασιλικῷ νέῳ.

24 347 οἱ δὲ ἀντὶ τοῦ ἐντίμῳ, τηροῦντι τὰ αἴσια, ὅ ἐστι τὰ δίκαια. [σὺν δὲ γέροντι νόος χύτο] τὸ ἑξῆς· συνεχύθη αὐτοῦ ὁ νοῦς.

24 367 [ὀνείατα] νῦν κτήματα, ἐν ἄλλοις δὲ βρώματα. [πειρᾷ ἐμεῖο γεραιέ] πειράζεις με, ὦ γέρον.

24 391 [κυδιανείρῃ] ἐν ᾗ δοξάζονται οἱ ἄνδρες. μία δ’—εὐεργὴς] ἑταῖρον—ἐπιβαίνουσιν.

24 400

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[παλλόμενος] κληρούμενος· πάλοι γὰρ οἱ κλῆροι. οὕτως] ἢ αὔτως, ματαίως, ἀνεπιμελήτως ἐν τῇ σκηνῇ.

24 415 [ἀρηϊφάτους] τοὺς ἐν πολέμῳ ἀνῃρημένους, ἢ ὑπὸ ξίφους· Ἄρης γὰρ ὁ σίδηρος. ἀκηδέστως] ἀφροντίστως, οὐ κηδεμονικῶς ἀλλ' ὑβριστικῶς.

24 426 [εἴποτ' ἔην γε] ἕως περιῆν. σύν γε θεοῖσιν] οἱ δὲ θεοὶ μὴ ἀντιπράττοιεν, ἀλλὰ βοηθοῖεν.

24 453 θύρην δ' ἔχε] αὐτὸ τὸ σῶμα, φησὶν, ὃ ἐπεῖχεν. [θύρην] θύραν μονόθυρον χρὴ νοεῖν. [ἐπιβλὴς] ὁ τῇ θύρᾳ ἐπι 〈βαλλόμενοσ〉 μοχλός.

24 462-463 [οὐδ' Ἀχιλῆος ὀφθαλμοὺς] οὐδ' εἰς ὄψιν Ἀχιλλέως. ὡς δ' ὅταν ἄνδρα] ἔθος ἦν τοῖς παλαιοῖς τὸν ἀκούσιον φόνον ἐργασάμενον φεύγειν ἐκ τῆς πατρίδος καὶ παραγίνεσθαι εἴς τινος ἀνδρὸς πλουσίου καὶ καθίζειν ἐπὶ τῆς ἑστίας συγκεκαλυμμένον καθαρσίου δεόμενον.

24 489 [ἀρὴν] νῦν βλάβην. [αἰδεῖο] ἀντὶ τοῦ αἰδοῦ.

24 506 τοῦ φονέως μου τῶν παίδων τὰς χεῖρας προσάγειν τῷ στόματι, φιλεῖν. [τῷ δ' ἄρα—γόοιο] ἐπιθυμίαν θρήνου ἐνέβαλεν.

24 525 ἐπεκλώσαντο] είμαρμένον—Ἄτροπος. δοιοὶ γάρ τε πίθοι] εἰς παραμυθίαν—προσώπῳ.

24 530 ἀντὶ τοῦ· ὁτὲ μὲν ἐν κακοῖς γίνεται, ὁτὲ δὲ ἐν ἀγαθοῖς ἐντυγχάνει. πόρον] τὴν διάβασιν τοῦ ποταμοῦ, ὅθεν ἐστὶ πορευτός.

24 701 ἀστυβοώτην] ἐπιθετικῶς—βοᾶν. [ἀοιδούς] νῦν—Ἐπιμήδης ἠθοποιΐα.

24 725 [ἀπ' αἰῶνος] ἀπὸ τοῦ βίου, ἀπὸ τοῦ χρόνου, τῆς τῶν ἀνθρώπων ζωῆς. ῥύσκευ] συνεῖχες, ἔσωζες, ἐρύου.

24 731 [ὀχήσονται] ἐπιβήσονται, βασταχθήσονται ἢ πορευθήσονται. ἐντεῦθεν κινηθέντες—ἐσάγουσιν Ἀστυάνακτα [ἀμιχθαλόεσσαν] ἀπρόσμικτον—ἀπέδοσαν.

24 759 [ἀγανοῖσι] πραέσιν· ἀνώδυνοι γὰρ οἱ ὀξεῖς θάνατοι. [κατέπεφνεν] ἀντὶ τοῦ ὅντινα συνέβη αἰφνιδίῳ καὶ ὀξεῖ θανάτῳ τελευτῆσαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org